[1] Δ' EΘ. — [2] ὅτ' ἂν Θ. – τὸ αἷμα ἐφ' Θ. – τοῦ αἵματος πλεῖστον ἐφ' vulg. — [3] ἐγγυτάτῳ (sic) Θ. – ἐγγύταται vulg. — [4] πλησίων Θ. — [5] δὲ ῥύσῃ vulg. – δ' εἰρύσῃ E. – δὲ εἰρύσῃ K. – ὅτ' ἂν δειρύῃ (sic) Θ. – ὀξέῃ Θ. – ὀξείη vulg. — [6] τε καὶ Θ, Mack. — [7] μὲν om. Θ. – δὲ om. Θ. – ἐκψυχοῦσι (bis) vulg. – ἐκψύχουσι (bis) EΘ, Mack. – πυκινὰ EHΘ. — [8] γενομένην K. – γινομένην vulg. — [9] ᾖ pro ἔῃ Θ. – ἦν EHΘ. – εἰ vulg. – τεσσάρων EH, Mack. – τεττάρων vulg. – τεσσέρων Θ. – ἡμερέων τὸ πλ. J. — [10] ὡς τὸ pro ἐς τὸ K. – ἐς τὸ om. Θ. – πουλλὰ Lind. — [11] ἀπόλλυνται E. – διαπύου Θ. – ἐμπύου vulg. — [12] δ' EHΘ. – Mack dit que ἔξω καταχεχυμένον manque dans Θ. Il n'en est rien. – ἔσω HIKΘ, Lind. – εἴσω vulg. – λάβῃ Θ. – λάβηται vulg. – καταλάβηται EP'Q', Lind., Mack. – τοῦτον EKΘ, Mack. – τούτου vulg. – τούτω L. – οὐδεμία EHΘ. – προαπεξηρασμένος EHΘ. – προαπεξηραμένος vulg. – προαπεξηραμμένος Mack. — [13] οὔτε pro οὐκ ἔτι Θ. – ἀναδίδοι Θ. – δι ουν (sic) ἔφθειρε Θ. — [14] φύμα ubique IKΘ. – ὅτ' ἂν Θ.

18. (*De l'érysipèle dans le poumon. Ce paraît être une affection aiguë du poumon dans laquelle un érysipèle survenait, ce qui était jugé favorable, ou rétrocédait, ce qui était jugé funeste.*) L'érysipèle se forme dans le poumon, quand cet organe a un excès de sécheresse. Or, l'excès de sécheresse s'y produit par la chaleur, par les fièvres, par les fatigues, par l'intempérance. Quand il est desséché excessivement, il attire à lui le sang, principalement et le plus des grandes veines (elles lui sont le plus voisines et gisent sur lui); mais il attire aussi des autres veines qui sont proches, et il attire la partie la plus ténue et la plus faible. Ayant ainsi attiré, il provoque une fièvre aiguë, une toux sèche, de la plénitude dans la poitrine, une douleur intense en avant et en arrière, surtout au rachis, attendu que les grandes veines sont échauffées. Les patients ont des vomissements tantôt sanguinolents, tantôt livides; ils vomissent aussi du phlegme et de la bile; ils ont des défaillances fréquentes, défaillances qui proviennent du déplacement subit du sang. Ce sont là les signes principaux quand le poumon est affecté d'érysipèle et que la fièvre est continue. Chez ce patient, si en deux, ou trois, ou quatre jours au plus, il y a effusion et métastase du dedans au dehors, la santé se rétablit d'ordinaire; s'il n'y a ni effusion ni métastase, il se forme corruption et empyème, et le malade succombe, et il succombe en peu de temps, le poumon étant tout entier purulent et putride. Si, répandu au dehors, l'érysipèle se tourne au dedans et saisit le poumon, il n'y a aucune espérance de salut, car, lorsque le poumon préalablement desséché attire à lui, il n'y a plus de métastase possible; mais, dès lors, en raison de la chaleur et de la dessiccation, il ne reçoit plus rien, ni ne se débarrasse de rien par le haut, et le patient succombe.

19. (*Des tumeurs dans le poumon. On ne voit pas bien la différence entre ces tumeurs qui suppurent dans le poumon et l'empyème du poumon indiqué plus haut.*) Les tumeurs se forment ainsi dans le poumon : quand de la pituite ou de la bile

χολὴ [1]ξυστραφῇ, σήπεται, καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτὴν καὶ βῆχα ξηρήν· ὁκόταν δὲ πεπαίνηται, ὀδύνη [2]γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξέη, καὶ θέρμαι λαμβάνουσι καὶ βὴξ ἰσχυρή· καὶ [3]ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, καὶ ῥαγῇ, καὶ ἄνω τράπηται τὸ πῦον, καὶ ἀναπτυσθῇ πᾶν, καὶ [4]ἡ κοιλίη, ἐν ᾗ [5]τὸ πῦον ἔνι, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, ἀλλ' αὐτὸ ἀφ' ἑωυτοῦ τὸ φῦμα ἀναδιδῷ τὸ πῦον, [6]ὀλέθριον τοῦτο, καὶ ἀπὸ τῆς κεφαλῆς [7]τε καὶ τοῦ ἄλλου σώματος φλέγμα καταῤῥέον ἐς τὸ φῦμα σήπεταί τε καὶ πῦον γίνεται καὶ πτύεται, δι' οὗ ἐφθάρη. Διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυείσης, ἀφ' ὧν περ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται· λεσχηνευομένου [8]δὲ αὐτοῦ καὶ φρονέοντος πάντα χρήματα ὁμαλῶς ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται, [9]καὶ ξυμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ, ἐνίοτε δὲ ὑπὸ [10]χρόνου τε πλήθεος, καὶ μεγέθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων. Ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε [11]ἀπὸ ταυτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενέων ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. Ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετέϊ ἐόντι ῥαγῇ τὸ πῦον, οὐδ' οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται [12]τρόπῳ τῷ αὐτῷ. Ἢν [13]δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, [14]τὸ παραυτίκα μὲν δοκέει ῥᾴων εἶναι· προϊόντος

[1] Ξ. θ, Lind. – σ. vulg. – ὠμότερος FGJ. – ᾗ θ. — [2] Addunt τε EH (τ' θ). – ἐνγίνεται θ. – ὀξέῃ θ. – ὀξείη vulg. — [3] ἢν om., restit. al. manu E. – εἰ K. – ῥάγηται θ. – πῦον.... τὸ om., restit. al. manu E. — [4] ἡ Hθ, Mack. – ἡ om. vulg. — [5] τὸ ποῖον IJ. – ἔνῃ (sic) θ. – ἔνι om. vulg. – προσπέσηται sine τε vulg. – προσπέσῃ τε IJK, Lind., Mack. – Post τε addunt τὸ πῦον GIJK. – ὑγιὲς G. – ὅτι om. θ. – καθαίρηται θ. – ἀναδίδω θ. – ἀναδιδοῖ vulg. – τὸ om. θ. — [6] ὀλ. τ. om. (E, restit. al. manu) GHIJKθ, Ald. — [7] τε EHθ, Mack. – δὲ vulg. – πτύηται διοῦν ἐφθάρη (sic) θ. – ὑπὸ τῆς γ. ῥ. ἢ ἀφωνπερ (sic) τὸ πρόσθεν εἴρηται θ. – In marg. λεσχηνεύω κατὰ τοὺς γραμματικοὺς τὸ φλυαρῶ J. — [8] δὲ θ. – τε vulg. – ἀφρονέοντος θ. – ἃ pro ὡς θ. – ὡς om. (E, restit. al. manu) FGH, Ald. — [9] καὶ om. FGIJK, Ald., Lind. – ξ. θ, Lind. – σ. vulg. – συμμύει τε φλ. πάντα τὰ ἐν τῷ σ. J. – ἅτε τοῦ σώματος ἐκκεκαυμένου ὑπὸ πυρετῶν θ. – αὐτῶν EH. — [10] χρόνου.... πολλοῦ om. θ. – νόσου J. — [11] ἐκ τοῦ

s'est amassée, elle pourrit, et, tant qu'elle est à l'état de crudité, elle produit une douleur légère et une toux sèche; mais, quand il y a maturation, la douleur devient aiguë en avant et en arrière, et des chaleurs et une toux forte saisissent le malade. Si la maturation et la rupture sont très-promptes, si le pus prend la voie d'en haut et est expectoré entièrement, et si la cavité où est le pus s'affaisse et se dessèche, le patient guérit complétement. Au contraire, si, même avec une rupture et une maturation promptes, avec un dégorgement, la cavité ne peut se dessécher entièrement, mais si la tumeur fournit par elle-même le pus, le cas est funeste; car le phlegme affluant de la tète et du reste du corps dans la tumeur, pourrit, devient pus et est expectoré; de là la perte du malade. Et il succombe, par le flux de ventre à la suite des accidents que j'ai indiqués dans les cas précédents, tout en parlant et en ayant sa pleine connaissance comme auparavant; il se dessèche et expire, toutes les veinules du corps se fermant, attendu que le sang en a été consumé par la fièvre, et quelquefois par la longueur du temps, par la grandeur de la maladie, par le mal originaire et les complications survenues. Dans le cas où la rupture ne peut s'en faire en beaucoup de temps ni spontanément ni par les remèdes, le patient se fond par les douleurs intenses, par le défaut d'alimentation, par la toux, par la fièvre, et d'ordinaire il succombe. Si le pus fait éruption alors que le malade est déjà amaigri et alité, il n'y a guère de chance de salut, et la mort arrive de la même manière. Si la rupture et la maturation sont, il est vrai, très-rapides, mais qu'ainsi mûri, le pus s'épanche en grande partie sur le diaphragme, le malade paraît d'abord être plus à l'aise; mais le temps marche, et alors,

αὐτομάτου EHθ. – ὅ om. Ald. – ἀσθενέων Jθ. – ἀσθενῶν vulg. – ὑπό τε θ. – ἰσχυρέων EIJK. – λελεπτυσμένω EHJθ, Mack. – λελεπτισμένῳ vulg. – κλεινοπετη (sic) θ. – κλινοπετεῖ K. – οὕτως EGHJ. — [12] τρ. τῷ αὐτῷ θ. – τρ. τοιούτω E. – τρ. τοιῷδε vulg. — [13] δὲ om. J. — [14] τὸ γὰρ αὐτίκα θ. – μὲν δοκ. EHθ. – δοκ. μὲν vulg. – ῥᾶον HJKL.

δὲ τοῦ χρόνου, ἢν μὲν ἀναπτύσῃ πᾶν, καὶ ἡ κοιλίη, ἐν ᾗ τὸ πῦος [1]ἔνι, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται· ἢν δὲ ὅ τε χρόνος πλείων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ ἀναπτύσαι μὴ δύνηται, ἀλλὰ καυθῇ ἢ τμηθῇ, καὶ τὸ [2]πῦος ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκέει ῥᾴων γεγονέναι, προϊόντος δὲ τοῦ χρόνου, διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ ἐν τῇ πρώτῃ εἴρηται.

20. Ἐν δὲ τῷ πλευρῷ γίνεται μὲν φύματα καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ χολῆς κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι· γίνεται δὲ καὶ ἀπὸ [3]πόνων, ὁκόταν τι τῶν φλεβίων σπασθὲν ῥαγῇ, ἢ σπασθῇ μὲν, ῥαγῇ δὲ μὴ παντελῶς, ἀλλὰ [4]σπάδων ἐν αὐτῷ γένηται· ἢν μὲν οὖν ῥαγῇ παραυτίκα, τὸ αἷμα [5]τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου σήπεταί [6]τε καὶ ἐκπυέει· ἢν δὲ σπάδων ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ' ἀρχὰς μὲν ὀδύνην τε παρέχει καὶ σφύζει, προϊόντος δὲ τοῦ χρόνου διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ πῦος γίνεται. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ, ἢν μὲν μᾶλλον πονέσῃ, πλέον [7]τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν, καὶ παραχρῆμα ἐκπυέει· ἢν δὲ ἧσσον πονέσῃ, σχολαίτερον [8]καὶ ἕλκει καὶ ἐκπυέει. Ἐνίοισι δὲ ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν ἢ ἐν [9]τῇσι φλεψὶν, οὐκ ἐκπυίσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, ἃ καὶ καλέουσι ῥήγματα. Καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται· [10]ὁκόταν ἡ σὰρξ [11]πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλο τι παθοῦσα, γίνεται, ὥσπερ [12]προεῖπον, πελιδνὴ, [13]πελιδνὴ δὲ οὐκ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρέϊ, καὶ τούτῳ ὀλίγῳ· ὅταν [14]δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει, καὶ ἕλκει ἐς ἑωυ-

[1] Ἐνῇ (ἐνῇ om., E restit. al. manu, FGJKL) vulg. – προσπέσηται καὶ θ. – καὶ om. G. – ἀποξηρανθῇ E. – δύνηται EHθ, Mack. – δύναται vulg. — [2] πῦον θ. – πύος vulg. – πῦος Kühn. – δοκέει δή τι θ. – ῥᾶον L. – εἶναι pro γεγ. Hθ. — [3] τῶν π. vulg. – τῶν om. Hθ. – ὅτ' ἂν θ. – ῥαγῇ, ἢ σπασθῇ μὲν, ῥαγῇ δὲ μὴ θ. – ῥαγῇ, μὴ ῥαγῇ δὲ vulg. — [4] Supra lin. ἢ σπάσμα K. — [5] τὸ om. θ. — [6] τε om. θ. – ἐκπυέει θ. – ἐκπύει vulg. – ἢν Hθ. – εἰ vulg. – τοῦτο om. FGIJK. – Ante κατ' addunt δὲ EHθ. – ὀδύνας θ. – τε om. Lθ. – διαδίδοι θ. – εἰς IJK. – πῦον θ. – πονήσῃ (bis) θ. — [7] τε τοῦ vulg. – τε om. Lθ. – ἐγγυτάτων K. – φλεβίων θ. – ἐκπυέει (bis) θ. – ἐκπύει (bis) vulg. – ἐμπύει GIJK, Ald. – ὅησσον (sic) θ. – πονέσει Lind. – σχολέτερον θ. — [8] τε καὶ vulg. – τε om. EHθ. – ἐνίησι K. – δ' ὅταν θ. – γένωνται τὰ σ. ἢ ἐν τῇ σαρκὶ θ. — [9] τοῖσι G, Ald. – ἃ θ. – ἃ om. vulg. – ὅσα θ. — [10] ὅτ' ἂν δὲ ἡ θ. — [11] πονήσῃ θ. — [12] εἴρηται EHθ. — [13] πε-

ou bien le pus est entièrement expectoré, la cavité qui le contenait s'affaisse et se dessèche, et le malade guérit; ou bien, après un plus long intervalle de temps, le patient s'affaiblit, ne peut expectorer; on l'opère par cautérisation ou incision; le pus est évacué, et d'abord de cette façon aussi il paraît être devenu un peu plus à l'aise, mais il n'en finit pas moins par succomber aux mêmes accidents indiqués dans le premier cas.

20. (*Des tumeurs du côté. Des ruptures.*) Des tumeurs se forment dans le côté, et par le phlegme et par la bile, de la même façon que dans le poumon; elles viennent aussi à la suite de fatigues, quand quelqu'une des veinules, prise de convulsion, se rompt, ou, prise de convulsion sans se rompre entièrement, devient le siége d'un effort. Si donc il y a rupture immédiate, le sang épanché de la veinule pourrit et devient pus; si, au contraire, il y a effort dans la veinule, cela d'abord cause de la douleur et des battements, puis, avec le temps, la veine laisse aller du sang dans la chair, et ce sang, pourri dans la chair, devient du pus. De la même façon, la chair, ayant fortement souffert, attire à elle hors des veines les plus voisines un excès de sang, dont il se fait du pus immédiatement; ayant moins souffert, l'attraction et la transformation en pus sont plus lentes d'autant. Chez quelques-uns, quand les convulsions dans les chairs ou dans les veines sont faibles, il n'y a pas suppuration, mais il surgit des douleurs de longue durée qu'on appelle aussi ruptures (Des vents, § 11). Tout ce qui arrive dans la chair arrive ainsi : quand la chair a souffert, soit d'une convulsion, soit d'un coup, soit de toute autre façon, elle devient, comme je l'ai déjà dit, livide, et livide non par un sang pur, mais par un sang ténu, aqueux et en petite quantité; mais, quand elle a été desséchée plus que d'ordinaire, elle s'échauffe, cause de la douleur, et attire à elle l'hu-

λιδνὴ δὲ θ. – π. δὲ om. vulg. – οὐκ ἐν εἰλ. GIK. — [14] δ' EH. – τε om. E. – εἰς E. – ἀπὸ τῶν πλησιων (sic) καὶ φλεβῶν καὶ σαρκῶν θ. – ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον vulg.

τὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν [1]τὸ ὑγρόν· καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπ' αὐτῆς τῆς σαρκὸς, [2]σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἰρύσθη, καὶ μᾶλλον δή τι σκίδναται [3]ἐς τὰς φλέβας, ἢ ἐς τὰς σάρκας· ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν, ἕλκουσι δὲ καὶ αἱ σάρκες. [4]Ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν, τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς [5]ἔλθῃ, ἄδηλον γίνεται καὶ ἀνώδυνον, καὶ ἀντὶ νενοσηκότος γίνεται ὑγιὲς τῷ χρόνῳ· ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει, καὶ ὅπῃ ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ καταστηρίξῃ, ὀδύνην παρέχει ὀξέην, καὶ δοκέουσιν ἔνιοι [6]αὐτοῖσι τὸ ῥῆγμα μεθεστάναι· τὸ δὲ οὐκ ἀνυστόν· [7]ἕλκος γὰρ μεταστῆναι οὐκ ἀνυστόν· ἐγγυτάτω [8]δὲ ἕλκεός ἐστιν ὁκόσα τοιαῦτα· ἀλλὰ τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν αἴσσει διὰ τῶν φλεβίων. [9]Ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γένηται πλέον, ὀδύνην παρέχει, ἔστ' ἂν [10]γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. Ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι [11]γίνεται, αὐτὸ μὲν τὸ [12]φλέβιον, ὁκόσον ἔσπασται, κατὰ χώρην μένει· ὅταν δὲ σπασθῇ, σπᾶται δὲ ὑπὸ τόνου καὶ βίης, [13]γίνεται οἷον κιρσός· [14]διαθερμαίνεται δὲ καὶ ἕλκει ἐς ἑωυτὸ [15]νοτίδα τινὰ ὑγρήν· ἡ δὲ νοτίς ἐστιν ἀπὸ χολῆς καὶ φλέγματος. Καὶ [16]ὁκόταν μιχθῇ τό τε αἷμα καὶ τὸ ὑγρὸν [17]τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα [18]πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ, ᾗ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερόν τε καὶ πλέον· καὶ [19]ὁκόταν πλέον γένηται, [20]μετανέστη τὸ πλήρωμα, ᾗ ἂν

[1] Τῶν, emend. τὸν J. – ὅτ' ἂν θ. – διαθερμανθῇ θ. — [2] σκίδναται.... τι om. θ. – εἴρυσθαι FG. – εἰρύσθαι K. — [3] εἰς K. — [4] ὅτ' ἂν θ. – δ' EHθ. — [5] ἔλθῃ θ. – ἑλκυσθῇ vulg. – ἄδηλόν τε θ. – πλεῖον θ. – καταστηρίξει E. – ὀξέην θ. – ὀξείην vulg. — [6] ἑωυτοῖσι θ. – μεθεστάναι HIKθ. – μεθιστάναι vulg. – μεθεστᾶναι E. – μεταστῆναι Mack. – δ' θ. — [7] ἕλκος γὰρ μεταστῆναι οὐκ ἀνυστὸν θ. – ἕλκος.... ἀνυστὸν om. vulg. — [8] δ' θ. – ὅσα θ. – τοιαῦτα· ἀλλὰ τὸ ἀπὸ θ. – τοιαῦτα καὶ (καὶ om., E restit. al. manu, HKL) ἄλλα· τὸ ἀπὸ (τὸ δὲ ἀπὸ L, Lind., Mack) vulg. – φλεβῶν θ. — [9] ὅτ' ἂν θ. – τε om. θ. – καὶ ὀδύνην vulg. – καὶ om. θ. — [10] ὅμ. γέν. EHθ. – ὅσα δ' ἐν θ. — [11] γίν., [ὧδε ἔχει.] Lind. — [12] φλεβίον E. – ὅσον θ. – μὲν εἶ (sic) θ. — [13] Ante γίν. addunt ὁκόταν σπασθῇ EH, Ald.; καὶ ὅτ' ἂν σπασθῇ θ. – κρεῖσσος θ. — [14] καὶ διαθ. EH. – διαθ.... ἑωυτὸ om. θ. – τε pro δὲ E. – ἑωυτὸ K. – ἑωυτὸν vulg. – Mack cite autrement le ms. θ; mais je suis constamment la collation qui m'a été envoyée. — [15] καὶ οτιδα (sic) θ. – τινὰ om. (H, restit. al. manu) θ. — [16] ὅτ' ἂν θ. – τε τὸ θ. – καὶ τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν θ. — [17] τὸ om. J. – παχύνεταί τε EHIKθ. – τὸ

mide hors des veines et chairs voisines. La chair ainsi humectée outre mesure, et ce liquide à son tour étant échauffé en excès par la chair elle-même, tout ce qui avait été attiré se dissipe par tout le corps, de telle sorte cependant qu'il en va plus dans les veines que dans les chairs, car les veines attirent plus que les chairs, bien que les chairs attirent aussi. Lorsque la petite quantité d'humide venant de la chair arrive dans la masse de l'humide du corps, elle n'y est ni visible ni douloureuse, et, à la longue, elle devient saine d'altérée qu'elle était. Mais, si la chair s'échauffe davantage et attire plus d'humide, elle cause de la douleur; partout où ce qui vient d'elle se jette et se fixe, une souffrance aiguë se fait sentir, et quelques malades s'imaginent que la rupture s'est déplacée; mais cela n'est pas possible. En effet, une plaie ne peut se déplacer; or, de telles lésions ont beaucoup d'analogie avec les plaies. Mais c'est le liquide fourni par la chair qui s'élance par les veinules. Quand ce liquide s'est échauffé, épaissi et accru, il cause de la douleur jusqu'à ce qu'il soit devenu semblable au reste du liquide en ténuité et en température (De l'anc. Méd., §§ 14 et 19; de la Nat. de l'Homme, § 4). Quant à ce qui se passe dans les veinules, toute veinule qui subit une convulsion reste en place; mais, après cette lésion, qui est l'effet de la tension et de la violence, il se forme comme une varice; elle s'échauffe et attire à elle une certaine vapeur humide; cette vapeur vient de la bile et du phlegme. Le sang et l'humide venant de la chair se mêlent; par ce mélange le sang est rendu, là où la veine se trouve avoir subi la convulsion, un grand nombre de fois plus épais qu'il n'était auparavant, et il devient altéré, plus stationnaire et plus abondant; étant devenu plus abondant, le trop-plein se transporte là où le veut la

αἷμα om., restit. al. manu H. — [18] καὶ πολλ. vulg. - καὶ om. θ. - στασιμώτερόν τι (τε pro τι θ, Mack; τι om. K) (addunt καὶ EHθ, Mack) ἐπὶ (ἐπὶ om. θ, Mack) πλέον vulg. — [19] ὅτ' ἂν θ. — [20] μετουν (sic) ἔστι θ. - ὀξέην θ. - ὀξείην vulg. - ὥστ' ἐν τοῖσι δοκέει θ. - μεθεστάναι θ. - μεθιστάναι vulg. - μεταστῆναι Lind., Mack.

τύχῃ, καὶ ὀδύνην παρέχει ὀξέην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεθεστάναι· καὶ [1] ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεταστῆναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει καὶ νάρκην καὶ [2] νωθρίην· καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, [3] ἡ ἐς τὸν ὦμόν τε [4] καὶ τὸν νῶτον τείνει, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. Γίνεται δὲ [5] τὰ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μέζον [6] αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων.

21. Ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι [7] γίνονται, ἢν ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἐσωτέρω τρωθῶσιν, [8] ἕως μὲν ἂν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν ἀνὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτὸ, καὶ τὸ θερμὸν [9] ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, καὶ ἀποκαθαίρεται [10] εὐχόλως τὸ πῦον καὶ ἢν δή τι ἄλλο. Καὶ ἢν μὲν ὑγιανθῇ [11] τό τ' ἔνδον καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ [12] δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται· καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ [13] καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ [14] ἔσω ἀσθενὴς γένηται καὶ τρηχείη καὶ πελιδνὴ, ἀνελκοῦται ἐνίοτε, καὶ [15] ὧδε ἔμπυος γίνεται· ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ, καὶ ἢν νούσῳ ἑτέρῃ [16] ληφθεὶς λεπτυνθῇ. Ὅταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσυμφυῇ τὸ ἔξω [17] τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξέην καὶ βῆχα καὶ πυρετόν· καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος διὰ τὸ πλέον [18] τε καὶ θερμότερον εἶναι· καὶ αὐτὸ ἀφ' [19] ἑωυτοῦ ἀποπνεῖ τὸ θερμὸν, καὶ τὸ πῦον [20] ἀποκαθαίρεται, καὶ προσιητρεύεταί τε διὰ πλείονος, καὶ σχολαίτερον ὑγιαίνεται· ἐνίοτε δὲ [21] οὐδ'

[1] Ἂν EHIJK. – ὥστ' θ. – μεταστῆναι EHθ. – μεθιστάναι vulg. – ἐν om. θ. – παρέχειν K. — [2] νωθρείην J. – ἐς om. G. — [3] ἡ vulg. – Il faut lire ἢ et prendre τείνει des mss. – ὦμόν τε καὶ om., restit. al. manu H. — [4] καὶ ἐς τὸν ὦτον (sic) θ. – τείνει HJθ. – τείνῃ vulg. – ἐς pro ὡς FG. — [5] τὰ θ, Mack. – τὰ om. vulg. – σπάσμα FGIJK. — [6] αἴρῃ θ. – ὅσοι θ. – ὁκόσοισι GJ. — [7] γένονται G. – ἢν θ. – ἢ pro ἢν vulg. – ἀπὸ G. – ἐσωτέρω θ. – ἔσω vulg. — [8] ἕως θ, Mack. – τέως vulg. – ἂν EHIJKθ, Mack. – ἢν vulg. – ἔξω τὸ ἕλκος EHθ. – Ante ἀναπν. addit ἢ al. manu H. — [9] ἐφ' FG, Ald. — [10] ταύτῃ pro εὐχόλως θ. – εὐχ. om., restit. al. manu H. – πύος JK. – καὶ δι' ἣν (ἥν J) τι ἄλλο vulg. – καὶ ἡν δῆ (sic) τι ἄλλο θ. – καὶ δὴ ἤν τι ἄλλο K', Lind., Mack. — [11] Ante τό addit ταύτῃ H. – τοτένδον (sic) θ. – τό τε εἴσω (ἔσω Lind.) vulg. — [12] δ' θ. — [13] τὸ ἔνδον sine καὶ θ. — [14] ἔσωθεν E. – ἀσθενής τε θ. — [15] ὧδε om. θ. – πονήσῃ τι θ. — [16] ληφθεῖσα θ. – οὕτω EGI. – πρὸς συμφυῇ θ. — [17] τῷ L. – ὀξέην θ. – ὀξείην vulg. —

chance, et y cause une douleur aiguë, de telle sorte que quelques-uns croient que la rupture s'est déplacée chez eux. Si le déplacement s'est fait sur l'épaule, on ressent dans le bras pesanteur, engourdissement et lenteur (Aph. VI, 22). Mais s'il se fait sur la veine qui se rend à l'épaule et au dos, la douleur se calme d'ordinaire sur-le-champ. Ces ruptures sont encore produites par les fatigues, les chutes, les coups, les efforts pour soulever un poids trop lourd, les courses, la lutte et toute autre cause de ce genre.

21. (*Des plaies pénétrantes de poitrine.*) Dans les empyèmes, suite de plaies pénétrantes faites par une lance, un poignard, une flèche, tant que la plaie a respiration au dehors par la solution primitive de continuité, cette voie lui sert à la fois à attirer à elle le froid et à exhaler loin d'elle le chaud, et permet l'issue facile du pus et du reste. Si le dedans et le dehors guérissent en même temps, le blessé recouvre complétement la santé. Si le dehors guérit sans que le dedans guérisse, il se forme un empyème (Coa. 421). Si, malgré la guérison simultanée du dedans et du dehors, la cicatrice intérieure devient faible, inégale et livide, elle se déchire parfois, et c'est encore une cause d'empyème; elle se déchire aussi quand le patient se fatigue trop, ou maigrit, ou a soit de la pituite, soit de la ile qui vienne se fixer sur la cicatrice, ou, pris d'une autre maladie, perd l'embonpoint. Une ulcération s'étant formée soit ainsi, soit parce que le dehors s'est cicatrisé avant le dedans, il en résulte une douleur aiguë, de la toux et de la fièvre. L'ulcération attire à elle le frais parce qu'elle est pleine et trop chaude, et elle exhale le chaud; le pus s'évacue, le traitement se prolonge, et le patient guérit plus lentement; quelquefois même il ne guérit pas. En effet,

[18] τε καὶ θ, Lind., Mack. – τε (τὸ pro τε E) sine καὶ vulg. – Peut-être faudrait-il lire διὰ τὸ πλέον τὸ θερμὸν εἶναι. — [19] ἑαυτοῦ E. — [20] ἀποκαθαίρεται διαπλείονος· καὶ προσανιητοντε (sic) καὶ σχολέτερον ὑγιάζεται πολλῷ θ. – τε post πλείονος H. – σχολαίτερον EHIKL, Lind. – σχολαιότερον vulg. — [21] οὐδὲ E. – ὑγιάζεται Q'θ, Lind.

ὑγιαίνεται· ἡ γὰρ σὰρξ [1] ἡ τοῦ ἕλκεος ὑπὸ του καύματος τοῦ ἐν τῳ σώματι ἕψεται, [2] καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι· ἀλλ' [3] ὁκόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ [4] ἔσω ῥυῇ τὸ αἷμα καὶ ἐνσαπῇ, ἔμπυος γίνεται· καὶ ἢν μὲν τοῦτο τὸ πῦον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ [5] τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος [6] συμφυῆναι, μήτε ἡ φλὲψ στεγνωθῆναι, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε [7] ἀναδιδῷ αἷμα, καὶ [8] ἢ παραυτίκα ἐμέηται [9] ἢ πτύηται, ἢ καὶ σήπηται [10] καὶ πῦον πτύηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ, ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται διαφθειρόμενος. Πολλάκις [11] δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, ἢ ὑπό τινων πόνων, ἢ γυμνασίων, ἢ [12] ὑπ' ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ὕστερον χρόνῳ· ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ [13] πρόσθεν· ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμοῤῥοέει, καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις, ἢ ἄλλοτε [14] μὲν καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον, πῦον δὲ πτύοντες ἀνὰ [15] πάσην ἡμέρην πολλόν τε καὶ παχὺ, [16] διεφθάρησαν τρόπῳ τοιούτῳ ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται.

22. Τοῖσι δὲ ταῦτα τὰ [17] νουσήματα ἔχουσι καὶ ὅσα τοιαῦτα, διαφέρει [18] ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως ἀνὴρ [19] τε γυναικὸς, [20] καὶ νεώτερος γεραιτέρου, καὶ γυνὴ νεωτέρη [21] παλαιο-

[1] Ἡ τοῦ ἕλκεος θ. – τό τε ἕλκος vulg. — [2] τε καὶ EHθ, Mack. – ὑγιασθῆναι H. — [3] ὅτ' ἂν θ. – ὁ om. θ. – τὰ αὐτὰ H. – ταῦτα sine τὰ θ. — [4] εἴσω θ. – ἐνσαπῇ θ. – σαπῇ vulg. – ἔμπυος θ, Mack. – ἔμπυον vulg. – κἂν pro καὶ ἢν θ. – μὲν om. J. — [5] τὸ om. GIJ. — [6] συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῇ (στεγνωθῆναι Lind.) ἡ τετρωμένη (ἡ τετρ. om., E restit. al. manu, FGIJK, Ald.), ἀλλ' vulg. – συμφυῆναι· μήτε ἡ φλὲψ στεγνωθῆναι, ἀλλὰ θ. — [7] ἀναδιδοῖ vulg. – ἀναδίδοι θ. — [8] ἡ θ. – ἢν (ἢν μὲν EHQ', Lind.) vulg. — [9] ἢ θ. – καὶ vulg. — [10] καὶ om. K. — [11] δ' θ. – ἢ ὑπὸ τρ., ἢ πόνων, ἢ κατὰ γυμνασίην θ. – τινων om. H. – ἢ ὑπὸ γυμνασίων EHP'. — [12] ὑπὸ EH. – ὅτ' ἂν θ. – ὑγιὴς θ. – φλεβίον E. – ὕστερον θ. – ἑτέρῳ pro ὕστ. vulg. — [13] πρόσθεν πάσχει (πάσχειν EFGHIJ, Ald., Frob., Lind.) vulg. – πάσχει om. θ. – ὅτ' ἂν δ' θ. – αἱμορροέει θ, Mack. – αἱμοῤῥοεῖ vulg. – αἱμορροῇ J. – ἀπόλυνται I. — [14] μέν τε vulg. – τε om. θ, Mack. — [15] πᾶσαν EHIJKθ. — [16] δι' οὖν ἐφθάρησαν θ. – νούσοισιν H, Lind., Mack, Kühn. – νούσῃσιν vulg. — [17] νοσ. EHθ. – ἴσχουσι θ.

la chair de la plaie se cuit par la chaleur qui est dans le corps, et elle s'humecte outre mesure, au point de ne pouvoir ni être séchée, ni produire une cicatrice, ni guérir; mais, à la longue, le patient succombe avec les symptômes indiqués dans le premier cas. S'il advient que la blessure ait atteint quelqu'une des veinules plus grosses, et que le sang s'épanche en dedans et y pourrisse, un empyème se forme. Le blessé peut guérir radicalement à condition que ce pus soit expectoré totalement, que la veine lésée se ferme, et que la plaie se cicatrise en dedans et en dehors. Mais la plaie ne peut se réunir, ni la veine se fermer; loin de là, elle rend, de fois à autres, du sang qui est ou vomi sur-le-champ, ou craché, ou qui même se corrompt et est expectoré sous forme de pus; alors le malade est perdu d'ordinaire, et il succombe soit tout d'abord à un vomissement de sang, soit plus tard aux accidents indiqués dans le premier cas. Souvent il arrive que chez ceux qui éprouvent une lésion de quelqu'une des veinules intérieures soit par blessure, soit par quelques fatigues, soit par des exercices, soit par toute autre cause, la veinule, après réunion et guérison apparente, se déchire au bout d'un certain temps, et elle se déchire par les mêmes causes que plus haut. Cette déchirure est suivie d'hémorrhagie, et le patient tantôt succombe sans délai, vomissant du sang en abondance et souvent; tantôt, vomissant de fois à autre du sang pur, mais crachant chaque jour du pus abondant et épais, il meurt comme, ou à peu près comme il a été dit pour les autres maladies.

22. (*Des différences de ces affections, suivant l'âge particulièrement.*) Dans ces affections et autres semblables, il est très-différent, pour la facilité ou la difficulté à en réchapper, d'être homme ou femme, jeune ou vieux, jeune femme ou femme déjà âgée, et, en outre, d'être malade en telle ou telle

—[18] εἷς θ. —[19] τε γὰρ vulg. - γὰρ om. EFHIJKθ, Mack. —[20] καὶ θ. - καὶ om. vulg. - γερετέρου θ. —[21] καὶ παλαιοτέρη pro παλ. (E, emend. al. manu) FGHIJKθ.

τέρης, καὶ πρὸς τούτοισιν [1]ἡ ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι, καὶ ἣν ἐξ ἑτέρης νούσου [2]νοσέωσιν, [3]ἢ μὴ ἐξ ἑτέρης· διαφέρει δὲ καὶ πάθημα παθήματος μέζον τε καὶ ἔλασσον, καὶ χρὼς χρωτὸς, καὶ θεραπείη θεραπείης. [4]Τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον, καὶ τοῖσι μὲν πλέω γίνεσθαι, [5]τοῖσι δὲ ἐλάσσω, καὶ ἀπόλλυσθαι ἢ μὴ, καὶ τοῖσι μὲν παραμόνιμά [6]τε εἶναι καὶ μέζω, τοῖσι [7]δὲ ἐλάσσω τε καὶ ὀλιγοχρόνια, τοῖσι [8]δὲ παραμένειν ἐς τὸ γῆρας τὰ νουσήματα καὶ [9]συναποθνήσκειν, τοὺς δὲ ἀπόλλυσθαι δι' ὀλίγου ὑπ' αὐτῶν. Καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσί τι τούτων, ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσι πλέω [10]τε καὶ ἰσχυρότερα καὶ ἀλγέουσι μᾶλλον τῶν ἄλλων, καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν, ὥστε ἢ πτύσαι [11]αἷμα ἢ ἐμέσαι, τὰ δὲ [12]καὶ γινόμενα λανθάνει αὐτοὺς ὑπὸ εὐεξίης τοῦ σώματος· οἱ δὲ γεραίτεροι πάσχουσι μὲν ὀλιγάκις, καὶ ὅταν πάθωσιν, [13]ἀσθενέστερα πάσχουσιν, ἅτε ἀσθενέστεροι ἐόντες, καὶ ἐπαΐουσι μᾶλλον, καὶ [14]ἐπιμελέονται μᾶλλον τῶν παθημάτων. Γίνεται οὖν τὴν ἀρχὴν τὸ παράπαν ἧσσον τῷ γεραιτέρῳ ἢ τῷ νεωτέρῳ· καὶ ὁκόταν γένηται, τῷ μὲν γεραιτέρῳ ἀσθενέστερα γίνεται, τῷ δὲ νεωτέρῳ ἰσχυρότερα. Καὶ τῷ [15]μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος καὶ ξηρασίην, καὶ τὴν σάρκα πυκνήν τε καὶ ἰσχυρὴν καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, [16]ὁκόταν τι πονέσῃ πλέον τοῦ εἰωθότος, μᾶλλον καὶ ἐξαίφνης, σπασμοί τε γίνονται ἰσχυροὶ, καὶ ῥήγματα [17]πολλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ [18]τῶν σαρκῶν· καὶ τούτων τὰ μὲν παραυτίκα ἔκδηλα γίνεται, τὰ δ' ὕστερον χρόνῳ ἀναφαίνεται. [19]Τοῖσι δὲ γεραιτέροισι [20]τόνος ἰσχυρὸς οὐκ ἔνι, αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι, καὶ τὸ δέρμα περὶ τὰς σάρκας, καὶ [21]αὐτὴ ἡ σὰρξ

[1] Ἡ τε vulg. – τε om. θ, Mack. — [2] νοσήσωσιν EH. – νουσήσουσιν G. – νουσήσωσιν vulg. – νοσέωσιν θ. — [3] ἣν τε θ. – καὶ om. EH. – πάθημά τε (τι pro τε GIJ) vulg. – τε om. θ. – μεῖζον EH. – θεραπίηι (sic) θ. – θεραπηΐη θεραπηΐης EH. — [4] τούτω, emend. al. manu H. – δ' Hθ. — [5] τίσι (bis) G. – ἐλάσσω τε (δὲ Kühn) vulg. – τε om. EIKθ. — [6] τ' θ. — [7] δ' θ. — [8] τε Lind. – νοσ. EHJθ. — [9] ξ. Lind. – συναποθνήσκει θ. – ἀπ' θ. – ὅσοι θ. – τι θ, Mack. – τι om. vulg. — [10] τε πλέω G. – ἀλγέουσιν οὗτοι vulg. – οὗτοι om. θ, Mack. – Post μᾶλλον addit πλέον E. – ἔνδηλα Hθ. — [11] ἢ αἷμα vulg. – αἷμα ἢ θ, Mack. — [12] καὶ om. θ. — [13] ἀσθενέα EFGHIJKLθ, Ald. – ἐπαΐουσι θ, Lind., Mack. – ἐπανίουσι vulg. — [14] ἐπιμέλονται θ, Mack. – ἐπιμελέον (sic) G. – ὅτ' ἂν θ. — [15] μὲν om. θ. – σχόντος sine τε θ. – πυκινὴν IIJKθ. — [16] ὅτ' ἂν θ. – πονήσῃ

saison de l'année, et de relever de telle ou telle maladie; il y a encore des différences entre affection et affection, plus grande ou plus petite, entre corps et corps, entre traitement et traitement. Avec de pareilles différences, il est nécessaire que le temps diffère aussi, plus long pour les uns, plus court pour les autres, que les uns succombent et les autres non, que chez les uns les affections soient permanentes et plus considérables, chez les autres moindres et de peu de durée, que chez les uns les maladies se prolongent jusqu'à la vieillesse et ne finissent qu'avec le patient, et chez les autres amènent promptement la mort. Chez les jeunes gens, ces affections, provenant, comme il a été dit, de fatigues, sont plus communes et plus intenses, causent plus de douleur que chez les autres, et se manifestent tout d'abord, soit par un crachement, soit par un vomissement de sang; quelquefois aussi ils ne s'en aperçoivent pas, à cause du bon état du corps. Au contraire, les vieillards en sont atteints rarement, et, quand ils le sont, ils en souffrent moins, vu qu'ils sont plus faibles (Aph. I, 14; II, 39); ils s'en occupent davantage, et se soignent mieux. Ainsi, à l'origine, ces affections arrivent moins aux vieux qu'aux jeunes, et, quand elles sont arrivées, elles sont plus faibles chez les vieux, plus fortes chez les jeunes. Les jeunes, chez qui le corps a du ton et de la sécheresse, qui ont la chair compacte, forte et appliquée aux os et la peau tendue sur la chair, sont exposés, quand ils font des efforts plus considérables que d'habitude, et surtout des efforts subits, à de violentes convulsions et à des ruptures nombreuses et diverses des veines et des chairs; et, de ces accidents, les uns deviennent apparents tout d'abord, les autres ne se révèlent que plus tard. Mais, chez le vieillard, il n'y a pas beaucoup de ton, les chairs sont flasques autour des os, la peau l'est autour des chairs, et la chair même est re-

vulg. – Voyez plus haut, p. 176, l. 16 et 21, et p. 164, l. 5. — [17] πουλλὰ G, Ald., Frob. — [18] τῶν om. E. – ἔνδηλα γίνεται θ. – γίνονται vulg. – ὕστερον θ. – ὑστέρῳ vulg. — [19] οἷσι G. — [20] χρόνος τε pro τόνος θ. – τόνος τις EH. – καὶ αἱ σάρκες θ. — [21] αὕτη θ. – πάθη EHIK.

ἀραιή τε καὶ ἀσθενής· καὶ οὔτε τι ἂν πάθοι τοιοῦτον ὁμοίως [1]ὡς καὶ ὁ νεώτερος, καὶ ἤν τι πάθῃ, πάσχει ἀσθενέα τε καὶ παραυτίκα ἔκδηλα. [2]Τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων. Ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, καὶ ἢ πῦος ἢ αἷμα πτύσωσιν ἢ ἀμφότερα, ὅσοι μὲν νεώτεροί εἰσιν, ἅτε τοῦ σώματος εὐτόνου [3]τε ἐόντος καὶ πυκνοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς ἀπὸ τῶν ἑλκέων [4]τῶν ἐν τῇ ἄνω κοιλίῃ τὸ πῦον· ὅ τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας πυκνότερος ἐὼν, αἵ τε ἀρτηρίαι λεπταὶ καὶ στεγναὶ [5]ἐοῦσαι οὐκ ἐνδέχονται τὸ πῦον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις, ὥστε ἀνάγκη τὸ [6]πῦος ἐν τῷ θώρηκί τε καὶ ἐπὶ τῶν ἑλκέων ἀθροίζεσθαί τε καὶ παχύνεσθαι. Τῷ [7]δὲ ἀφηλικεστέρῳ ὅ τε πλεύμων ἀραιότερος καὶ κοιλότερος, καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πῦος ἐν τῇ κοιλίῃ καὶ ἐπὶ τῶν ἑλκέων, καὶ ὅ τι ἂν ἐπιγένηται, τοῦτο [8]ἀνάγκη πᾶν ἀνασπᾶσθαι ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεσθαι. Τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τῆς καθάρσιος [9]οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται, καὶ ὀδύναι ἐμπίπτουσιν [10]ὀξέαι αὐτοῦ τε τοῦ παθήματος καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβίων [11]ἐντόνων τε ἐόντων καὶ ἐναίμων· ὅταν δὲ ταῦτα διαθερμανθῇ [12]ὑφ' ἑωυτῶν, ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τῷ σώματος, καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι' ὀλίγου. Τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ' αὐτῶν καθαιρομένου, οἵ τε πυρετοὶ λεπτότεροι καὶ [13]ὀλιγάκις γίνονται, καὶ ὀδύναι ἔνεισι μὲν, ἔνεισι δὲ λεπταί· καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων οὐκ ἀπαλλάσσονται [14]οὐδὲ οἱ γεραίτεροι, [15]ἀλλ' ἔχοντες αὐτὰ πουλὺν χρόνον καταφθείρονται, καὶ ἄλλοτε

[1] Ὧ EGHIK. – ὃ pro ὡς J. – ὁ om. J. – ἀσθενέα τε καὶ παρ. οἱ ἔκδ. (εὔδηλα EQ'; ἔνδ. HIJK) γίνεται vulg. – ἀσθ. τε καὶ παρ. ἔνδηλα θ. — [2] τοσοῦτο δὲ ἐν J. – ὅτ' ἂν δ' θ. – πῦον θ, Mack. – πτύσωσιν θ, Mack. – πτύωσιν vulg. – ἀμφότεροι sine ἢ J. — [3] τι G. – ἐόντος Hθ, Mack. – ὄντος vulg. – πυκινοῦ θ, Mack. – ὁμαλῷ Mack. — [4] τῶν ὧν vulg. – ὧν om. θ, Mack. — [5] ἐοῦσαι E. – οὖσαι vulg. – λ. ἐοῦσαι καὶ στεναὶ θ. – ἐνδέχονται θ. – εἰσδέχονται vulg. — [6] πῦον θ, Mack. – θώρηκι EGHI. – θώρακι vulg. – ἐν τῶ ρηκι (sic) J. — [7] δ' EH. – αἱ om. E. – ἐνχρ. τὸ πῦον θ. – πῦον Mack. — [8] πᾶν (πάλιν θ) ἀνάγκη EHθ. – εἰς IK. – ἐκπύεσθαι H. — [9] οὐ om. K. — [10] ὀξέαι θ. – ὀξεῖαι vulg. —

lâchée et faible ; il ne peut donc éprouver des accidents semblables à ceux du jeune homme, et, s'il en éprouve, ils sont faibles et tout d'abord apparents ; conditions qui rendent d'autant ces affections, à leur origine, plus difficiles à résoudre chez les jeunes gens que chez les vieux. Puis, quand la maladie est devenue visible, et que le patient crache du pus ou du sang ou l'un et l'autre, les jeunes, chez qui le corps a du ton et est compacte, ne peuvent facilement expectorer le pus des ulcères siégeant dans le ventre supérieur (*poitrine*), car le poumon, vu sa densité, n'attire guère dans les artères (*bronches*), et les artères (*bronches*), vu leur ténuité et leur resserrement, ne reçoivent pas le pus, si ce n'est peu et peu souvent, de sorte que nécessairement ce liquide s'accumule et s'épaissit dans la poitrine et sur les ulcères. Mais, chez l'homme âgé, le poumon est plus lâche et plus creux, et les artères (*bronches*) sont plus larges, de sorte que le pus ne séjourne pas dans la poitrine et sur les ulcères ; ce qui s'en forme est nécessairement expulsé en haut par le poumon dans les artères (*bronches*) et expectoré aussitôt. Ainsi, chez le jeune homme, les lésions étant plus fortes, et l'évacuation des crachats ne s'opérant pas comme il convient, les accès fébriles deviennent plus aigus et plus fréquents, des douleurs intenses se font sentir tant au lieu affecté que dans le reste du corps, vu que les veinules ont du ton et du sang ; quand tout cela s'est échauffé par soi-même, les douleurs se portent tantôt sur une partie, tantôt sur une autre, et ces patients succombent d'ordinaire en peu de temps. Mais, chez les hommes âgés, comme l'affection est moindre, et que le lieu affecté se débarrasse par l'expectoration, les accès fébriles sont moins forts et moins fréquents ; il y a des douleurs, mais légères. A la vérité, les vieillards eux-mêmes ne guérissent pas de telles affections, seulement ils les gardent et se

[11] εὔτ. E. – ἐντείνοντες (sic) ὄντων θ. — [12] ἐφ' θ. — [13] ὀλιγάκις θ. – ὀλίγοι vulg. — [14] οὐδ' θ. — [15] ἀλλὰ EHθ. – πουλλὺν J. – καταφθ. πολὺν (πουλὺν θ) χρ. EHθ.

πῦον πτύουσιν, [1] ἄλλοτε δὲ αἷμα, ἄλλοτε δὲ οὐδέτερον, τέλος δὲ συναποθνήσκει [2] αὐτοῖσιν· ἀποθνήσκουσι δὲ μάλιστα οὕτως, ὅταν τι αὐτοὺς νόσημα [3] τούτῳ, ᾧ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο, [4] καὶ ὃ ἂν ἔχωσι νούσημα ἰσχυρότερον γίνεσθαι, καὶ ὡς τὰ πολλὰ διαφθείρονται. Ταῦτα [5] δέ ἐστι τὰ μάλιστα ἐξεργαζόμενα τῶν νουσημάτων πλευρῖτίς τε καὶ περιπλευμονίη.

23. Πυρετὸς δὲ ἀπὸ τῶνδε γίνεται· [6] ὁκόταν χολὴ ἢ φλέγμα θερμανθῇ, θερμαίνεται [7] τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τουτέων, καὶ καλέεται [8] τοῦτο πυρετός· θερμαίνεται δὲ ἡ χολὴ καὶ τὸ [9] φλέγμα ἔνδοθεν μὲν ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ' ὧν [10] καὶ τρέφεται καὶ αὔξεται, ἔξωθεν δὲ ἀπὸ [11] πόνων καὶ τρωμάτων, καὶ [12] ὑπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, καὶ [13] ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος· θερμαίνεται δὲ [14] καὶ ἀπὸ ὄψιος καὶ [15] ἀκοῆς, ἐλάχιστα δὲ ἀπὸ τούτων.

24. Τὸ δὲ [16] ῥῖγος ἐν τῇσι νούσοισι γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθέν ἀνέμων, καὶ ὕδατος, καὶ αἰθρίης, καὶ ἑτέρων τοιούτων, γίνεται δὲ καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ [17] ποτῶν· μάλιστα δὲ ἰσχυρότερον γίνεται, ὅταν χολὴ [18] καὶ φλέγμα συμμιχθῇ ἐς τωυτὸ τῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερον· μᾶλλον [19] δέ, ἢν τὸ φλέγμα μοῦνον [20] ξυμμιχθῇ· ψυχρότατον γὰρ φύσει τὸ φλέγμα, θερμότατον δὲ [21] τὸ αἷμα, ψυχρότερον δέ τι καὶ ἡ χολὴ τοῦ αἵματος. Ὅταν οὖν ταῦτα [22] συμμιχθῇ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, [23] συμπήγνυσι τὸ αἷμα, οὐ παντάπασι δέ, [24] οὐ γὰρ ἂν δύναιτο ζῆν ὥνθρωπος, εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωυτοῦ. Ψυχομένου

[1] Ἄλλοτε δὲ αἷμα θ. – ἄλλοτε αἷμα vulg. – ἄλλοτε αἷμα om. dans Kühn par une faute d'impression. – δ' θ. – οὐθέτερον EGHIJK, Ald., Frob. — [2] τούτοισιν θ. – μάλιστα EHθ. – μ. om. vulg. – οὕτω K. – νούσ. Lind., Mack. — [3] τούτων θ. – ἔχουσι K. – ὥστ' θ. — [4] καὶ om. K. – νόσ. EH. – ἰσχνότερον G. – γίγνεται (γίνεται EHIKθ) vulg. – γίνεσθαι me semble exigé par la construction. – πουλλὰ Lind. – διουν ἔφθειρε θ. – διέφθειρε, al. manu διαφθείρονται H. — [5] δ' θ. – μάλιστα τὰ θ. – νοσ. EHθ. – πλευρίτης J. – τε om. E. — [6] ὅτ' ἂν θ. — [7] [καὶ] τὸ Lind. – πᾶν τὸ ἄλλο σῶμα θ. – τουτέων E, Mack. – τούτων vulg. – τούτου K. — [8] πυρ. τοῦτο EHθ. — [9] σῶμα ἔσωθεν θ. — [10] περ pro καὶ EHθ. — [11] τῶν pro πόνων καὶ K. — [12] ὑπό τε θ. – ὑπὸ om. Mack. — [13] ὑπὸ τοῦ om. FGIJK. – ὑπὸ om. θ, Mack. — [14] καὶ om. G. – ὄψεως K. — [15] καὶ ἀπὸ Kθ. – δ' θ. — [16] ῥῆγος G, Ald. – ῥίγος ubique E. – ἐν om. θ. — [17] πότων θ. – δὲ καὶ vulg. – καὶ om. (θ, habet δ'), Mack. — [18] ἢ pro καὶ θ. – συμ. om. FG. – μιχθῇ IJK. – συνμιχθῇ (bis) θ. – ἐπὶ τῷ αὐτῷ αἵματι vulg. – ἐς (ἐς om. θ) τωυτὸ τῷ αἵματι EP'Q'θ, Lind., Mack. – ἐς τῶυτῷ (sic) αἵματι H. – ἐπὶ τὸ αὐτὸ αἵματι

consument longtemps, crachant tantôt du pus, tantôt du sang, et parfois ni l'un ni l'autre; finalement le mal meurt avec eux, et ils périssent surtout de la sorte, quand une maladie analogue à celle qu'ils portent les saisit; alors, ayant cette nouvelle maladie, et l'ancienne devenant par là plus forte, ils meurent d'ordinaire. Tels sont les effets que produisent, plus que toute autre maladie, la pleurésie et la péripneumonie.

23. (*De la fièvre.*) Voici comment naît la fièvre : la bile ou la pituite étant échauffée, tout le reste du corps s'échauffe par leur intermédiaire; c'est ce qu'on nomme fièvre. Or, la bile et la pituite s'échauffent, du dedans par les aliments et les boissons, qui, en même temps, nourrissent et font croître ; du dehors par les fatigues, par les plaies, par un excès de chaud, par un excès de froid; elles s'échauffent aussi par la vue et l'ouïe, mais c'est ce qui agit le moins.

24. (*Du frisson.*) Le frisson, dans les maladies, vient, d'une part, des vents du dehors, de l'eau, du serein, et autres influences semblables; d'autre part, il vient des aliments et des boissons ingérées. Il prend particulièrement de l'intensité quand la bile et la pituite se mêlent dans le même point avec le sang, soit l'une des deux, soit l'une et l'autre; et encore plus, si la pituite se mêle seule; car naturellement la pituite est la plus froide des humeurs, le sang est le plus chaud, et la bile est un peu plus froide que le sang. Quand donc ces humeurs, soit l'une et l'autre, soit l'une des deux, se mêlent avec le sang, celui-ci se coagule, non complétement néanmoins, car l'homme ne pourrait vivre si le sang devenait bien des fois plus dense et plus froid que dans l'état naturel. Le

K. - ἀμφότερον θ. - ἀμφότερα vulg. — [19] δ' θ. - μοῦνον om. E (H, restit. al. manu) θ. — [20] σ. EIJK, Mack. - τοῦ ἀνθρώπου pro φύσει θ. - φησι τοῦ ἀνθρώπου E (H, al. manu φύσει). - τοῦ ἀνθρώπου φύσει Q'. - τὸ om. θ. — [21] τὸ om. EH (θ, habet δ'). - τι om. EHθ. - ἡ om. θ. - ὁκόταν H. — [22] ξ. Lind. — [23] συντήγυσι θ. - πήγνυσι vulg. - πήγνουσι Lind. - πηγνύουσι Mack. — [24] οὐ Eθ. - οὐδὲ vulg. - ὤνθρωπος (sic) θ. - ὁ ἄνθρωπος vulg. - τε om. E.

[1]οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν, καὶ [2]καλέεται ῥῖγος, ὁκόταν τοῦτο τοιοῦτον γένηται· κῆν μὲν ἰσχυρῶς γένηται, ῥῖγός τε ἰσχυρὸν καὶ τρόμος, αἱ γὰρ φλέβες συσπώμεναι, [3]καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τε τὸ σῶμα καὶ τρέμειν ποιέουσιν· ἢν [4]δέ τι ἧσσον ἡ [5]ξύνοδος τοῦ αἵματος γένηται, τοῦτο [6]δὲ καλέεται ῥῖγος· φρίκη [7]δὲ, τὸ ἀσθενέστατον. Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει· [8]ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ ἀποβιᾶται [9]καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωυτοῦ φύσιν, [10]συνδιαθερμαίνεται καὶ τοῦ [11]φλέγματος καὶ τῆς χολῆς τὸ ἐν τῷ αἵματι συμμεμιγμένον, καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωυτοῦ πολλαπλασίως· τούτων οὖν διατεθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγενέσθαι ὑπὸ τῆς θερμασίης τοῦ αἵματος μετὰ τὸ ῥῖγος.

25. [12]Ἱδρὼς δὲ γίνεται διὰ τόδε· οἷσιν ἂν νοῦσοι κρίνωνται ἐν τῇσι [13]κυρίῃσι τῶν ἡμερέων, καὶ τὸ πῦρ μεθίῃ, ἐκτήκεται ἀπὸ τοῦ ἐν [14]τῷ σώματι φλέγματος καὶ τῆς χολῆς τὸ λεπτότατον, καὶ ἀποκρίνεται καὶ χωρέει τὸ μὲν ἔξω τοῦ [15]σώματος· τὸ δὲ ἔνδον καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται· τὸ δὲ [16]ὑπὸ θερμασίης λεπτυνόμενον ἀτμὸς γίνεται, καὶ σὺν τῷ [17]πνεύματι μισγόμενον ἔξω χωρέει. Ἔστι μὲν οὖν ταῦτα τοιαῦτα, καὶ ἀπὸ [18]τούτων ἀπογεννᾶται ὁ ἱδρώς. Διότι δὲ ὁτὲ μὲν θερμὸς, ὁτὲ δὲ ψυχρός ἐστιν, οὕτως· ὁ μὲν θερμὸς ἀπὸ [19]δια-

[1] Δὲ pro οὖν EHθ. — [2] καλέεται τοῦ τοιοῦτο (sic) γένηται· ἢν (sic) μὲν ἰσχυρῶ γένηται· ῥίγος τε ἰσχυρὸν καὶ τέτραμος (sic) θ. – καλέεται (καλέουσι L) ῥίγο (ῥῖγος Kühn), ὁκόταν τοῦτο (τοῦτο, ὁκόταν Lind.) τὸ (τὸ om. EGIJK) τοιοῦ τον (τοιοῦτο E) γένηται· κῆν (ἢν EGHIJK, Ald.) μὲν ἰσχυρὸν γένηται ῥίγο (ῥύγος Ald.; ῥῖγος Kühn), ἰσχυρότερός ἐστι (ἐστι om., restit. al. manu H καὶ ὁ (ὁ om. H) τρόμος vulg. – Plus bas l'auteur dit que le frisson le plu faible se nomme φρίκη, le frisson plus fort, ῥῖγος; par conséquent le fris son le plus fort a dû avoir une désignation particulière. On voit donc qu le texte de vulg. est altéré; mais celui de θ l'est aussi. Cependant, en le combinant, on arrive très-près, je pense, de la leçon véritable. Ῥῖγος n signifie en effet que le frisson sans tremblement, voy. la note des commen tateurs Aph. v, 69; et ῥῖγος ἰσχυρὸν est une des désignations du frisson Ép. vi, 1, 8. — [3] καὶ ἐπεωυτας (sic) ἰουσαι πηγνυμένου τε pro καὶ.... πηγνυμένου θ. – σπῶσι FGIJK. — [4] δὲ ἐπὶ θ. — [5] ξ. θ. – σ. vulg. – γένηται τοῦ αἵμ. EHθ. — [6] δὴ Lind. – ῥίγος ubique vulg. – ῥῖγος ubique Kühn. — [7] δὲ λέγεται vulg. – λέγ. om. (H, restit. al. manu) θ. – πλείω θ. – οὕτως ἔχοι θ. – ὅδε J — [8] ὅτ' ἂν θ. – διαθερμαίνεται vulg., par une faute d'impression répété

sang étant refroidi, tout le reste du corps est refroidi nécessairement; quand il en est ainsi, c'est ce qu'on nomme frisson. Si l'action sur le sang est forte, c'est le frisson intense et le tremblement, car les veines, contractées en raison du resserrement et de la coagulation du sang, contractent le corps et le font trembler. Si le resserrement du sang est un peu moindre, c'est le frisson; le frissonnement, c'est cet état au minimum. Après le frisson, il survient nécessairement plus ou moins de fièvre; voici pourquoi : quand le sang se réchauffe, fait violence et revient à sa nature, la part de pituite et de bile qui est mêlée au sang se réchauffe aussi, et le sang devient bien des fois plus chaud qu'à l'ordinaire. Toutes ces humeurs étant échauffées, la fièvre, par la chaleur du sang, suit nécessairement le frisson.

25. (*De la sueur.*) La sueur se produit ainsi : quand les maladies se jugent aux jours décisifs, et que la fièvre quitte le patient, la partie la plus ténue de la pituite et de la bile qui sont dans le corps s'atténue, se sépare, et sort au dehors du corps; le reste demeure à l'intérieur; la partie atténuée par la chaleur devient vapeur et s'en va au dehors mêlée au souffle. C'est ainsi que sont ces choses, et c'est ainsi que se forme la sueur. Mais pourquoi est-elle tantôt chaude, tantôt froide? le voici : la sueur chaude provient d'un mal échauffé, consumé,

dans Kühn. – ἀποβίηται vulg. – ἀποβιῆται Mack. – ἀποβιᾶται θ.— [9] καὶ om. FGIJK. – εἰς HI. — [10] διαθερμαίνεται θ. — [11] αἵματος J. – ἑωυτῶ I, Ald. – ὑπὸ τῆς ὑπὲρ θερμασίης θ. – τὸ θ. – τὸ om. vulg. — [12] ἱδροῦν θ. – ὁκόσαι (ὁκόσοις, E al. manu σαι, Q'; ὁκόσοισιν Mack; οἷσιν θ) ἂν νοῦσοι (ἂν αἱ νοῦσοι E) κρίνωνται (κρίνωνται νοῦσοι H; κρίνωνται αἱ νοῦσοι θ) vulg. — [13] Post τῇσι addit τοιούτοισι E; τοιούτῃσι (sic) H. – μεθίῃ EHIJKθ. – μεθίει vulg. — [14] τῷ om. Lind. – σώματι θ. – αἵματι vulg. – τε καὶ Lind. – χορέει θ. — [15] αἵματος θ. – ἔνδον om. (H, restit. al. manu) θ. — [16] ὑ. θ. om. J. – αὐτὸς, supra lin. ἀτμὶς J.— [17] αἵματι θ. – σμιγόμενον EGIJK. – ἐκχωρέει θ. – τοιαῦτά τε θ. — [18] τούτων ὁ ἱδρώς· ὅτι δὲ ὁ μὲν θερμὸς, ὁ δὲ ψυχρός· ὁ μὲν θερμὸς θ. – ἀπογενν. om., restit. al. manu H. – ποτὲ (bis) J. – ἐστιν οὕτως om., restit. al. manu H. – οὕτως· θερμὸς μὲν ἀπὸ vulg. — [19] τεθερμασμένου θ. – τε τοῦ (τε καὶ τοῦ GIJ) vulg. – τε om. Eθ. – ἐκ τοῦ κεκαυμένου pro ἐκκ. E. – πολλοῦ EHKθ, Mack. – πολλῷ vulg. – πολλὰ L, Lind.

τεθερμασμένου τοῦ κακοῦ, καὶ ἐκκεκαυμένου, καὶ λελεπτυσμένου, καὶ ἀσθενέος, καὶ οὐ λίην πολλοῦ ἀποκρίνεται, καὶ ἀνάγκη θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος· [1]ὁ δὲ ψυχρὸς ἀπὸ πλέονος τοῦ κακοῦ ἀποκρινόμενος, τοῦ τε ὑπολειπομένου, καὶ ἔτι ἰσχύοντος, καὶ οὔπω συσσεσηπότος, οὐδὲ λελεπτυσμένου, οὐδὲ ἐκκεκαυμένου, ψυχρότερος καὶ παχύτερος καὶ κακωδέστερος ἐκχωρέει. Δῆλον [2]δὲ τοῦτο ἐν τῷδε· οἱ ψυχρῷ ἱδρῶτι ἱδρῶντες μακρὰς νούσους νοσέουσιν ὡς ἐπιτοπουλὺ, ἔτι ἰσχύοντος τοῦ κακοῦ τοῦ ἐν τῷ σώματι ὑπολειπομένου· οἱ δὲ θερμῷ ἱδρῶτι ἱδρῶντες ταχύτερον ἀπαλλάσσονται τῶν [3]νουσημάτων.

26. Πλευρῖτις δὲ καὶ περιπλευμονίη γίνονται ὧδε· ἡ μὲν πλευρῖτις, [4]ὁκόταν πόσιες ἀλέες τε καὶ ἰσχυραὶ κάρτα λάβωσι· διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου καὶ ὑγραίνεται, μάλιστα δὲ ἥ τε χολὴ καὶ τὸ φλέγμα διαθερμαίνεταί τε καὶ ὑγραίνεται. [5]Ὁκόταν οὖν, τούτων κεκινημένων τε καὶ διυγρασμένων, ξυγκυρήσῃ ὥστε ῥιγῶσαι μεθύοντα [6]ἢ νήφοντα, ἅτε ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρκὸς μάλιστα τοῦ σώματος, καὶ οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀντιστηρίζοντος οὐδενὸς, ἀλλὰ [7]κοιλίης, αἰσθάνεται μάλιστα τοῦ ῥίγεος· καὶ ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, [8]ξυνέλκεταί τε καὶ συσπᾶται ἥ τε σὰρξ ἡ ἐπὶ τῷ πλευρῷ, καὶ τὰ φλέβια· καὶ ὅσον [9]ἐν αὐτῇ τῇ σαρκὶ ἔνι χολῆς [10]καὶ φλέγματος ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, [11]τούτου τὸ πολλὸν ἢ πᾶν ἀποκρίνεται [12]ἔσω πρὸς τὸ θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν, καὶ προσπήγνυται πρὸς τῷ πλευρῷ, [13]καὶ ὀδύνην παρέχει ἰσχυρὴν, καὶ διαθερμαίνεται, καὶ [14]διὰ τῆς θερμότητος ἄγει ἐφ' ἑωυτὸ ἀπὸ τῶν πλησίον [15]καὶ φλεβῶν καὶ σαρκῶν φλέγμα τε καὶ χολήν. Γίνεται μὲν [16]οὖν τούτῳ τῷ τρόπῳ. Ὁκόταν δὲ τὰ πρὸς τῷ πλευρῷ

[1] Ψυχρὸς δὲ pro ὁ δὲ ψ. Lind. – πλείονος θ. – ἀποκεκριμένος θ. – ἐκκρινόμενος EP'. – συσσεσηπότος HKLθ. – συσεσηπότος I. – σεσηπότος vulg. — [2] δὲ τῶδε τοῦτο θ. – ἱδρῶντες (bis) θ. – ἱδροῦντες (bis) vulg. – νούσους Hθ, Mack. – νόσους vulg. – νουσέουσιν Mack. – ἐπὶ τὸ πολὺ θ. – ἔτι ἰσχύοντος θ. – ἐπισχύοντος pro ἔ. ἰ. vulg. — [3] νοσ. EHIJθ. – δὲ om. EIθ. — [4] ὅτ' ἂν ποσὶν (sic) ἐς ἀλέες τε καὶ θ. – γὰρ om. EHθ. – πᾶν θ. – ἀπὸ G, Ald. — [5] ὁκόταν (ὅτ' ἂν θ) οὖν EHP'Q'θ, Mack. – καὶ δὴ pro ὁκ. οὖν vulg. – διυγρασμένων EH. – ὑγρασμένων vulg. – ξυγκυρήσῃ θ. – συγκυρήσῃ EH. – συγκυρήσει vulg. – ξυγκυρήσει Lind., Mack. — [6] ἢ Eθ. – ἤν τε vulg. — [7] κοίλου (E, al. manu κοιλίης) HP'Q', Lind., Mack. – ὅτ' ἂν θ. – τε om. θ. — [8] ξ. θ. – σ. vulg. – τε om. θ. – σπᾶται θ.

atténué, faible et peu étendu; dès lors, nécessairement, la sueur sort chaude du corps. La sueur froide provient d'un mal plus considérable, et d'un reliquat encore plein de force, non mûri, non atténué, non consumé; dès lors, la sueur sort plus froide, plus épaisse, et plus fétide. On le voit manifestement en ceci : ceux qui ont des sueurs froides font généralement de longues maladies, le mal laissé dans le corps conservant encore de la force; mais ceux qui ont des sueurs chaudes sont délivrés plus promptement de leurs affections (Aph. IV, 42, VI, 85).

47. [1]Τὰ γυναικεῖα νοσεύματα καλεύμενα· αἱ ὑστέραι πάντων τῶν νοσημάτων αἴτιαί εἰσιν· αὗται γὰρ ὅπη ἂν ἐκ τῆς [2]φύσιος μετακινηθέωσι, νούσους παρέχουσιν, ἥν τε προέλθωσιν, ἥν τε παραχωρήσωσιν. Καὶ ὅταν μὲν μὴ βάλλουσαι τὸ στόμα αἱ μῆτραι καὶ μὴ ψαύουσαι τῶν χρημνῶν μετακεκινημέναι [3]ἔωσιν ἔξω, σμικροτάτη νοῦσός ἐστιν· ἐπεὶ δὲ προκινηθέωσιν ἐς τὸ ἔμπροσθεν καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν χρημνὸν, πρῶτον μὲν ψαύσασα πόνον παρέσχεν, εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμασθεῖσα ὑπὸ τῆς [4]ἐμβλήσεως τῆς ἐς τὸν χρημνὸν, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα· τοῦτο [5]δὲ συνιστάμενον οἶδός τε καὶ ὀδύνην παρέχει. Καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέξει· ἢν [6]δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφρακχθῇ, καὶ οὕτω διὰ τὴν [7]ἀραιότητα νοῦσον παρέχει· ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. Ὁπόταν δὲ αἱ μῆτραι [8]πρησθεῖσαι συνοιδήσωσιν, οὐ ῥεῖ οὐδὲν, καὶ πλέαι γίνονται· ἐπὴν δὲ πλέαι γίνωνται, [9]ψαύουσι τῶν ἰσχίων· [10]ἐπὴν δὲ πλησθεῖσαι αἱ μῆτραι ὑγρότητος διευρυνόμεναι οὐ χωρέωνται, ψαύωσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσι καὶ ἐς τὰ ἰσχία καὶ [11]ἐς τὸν βουβῶνα, καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσι, καὶ τὴν κεφαλὴν πονέουσι, τοτὲ μὲν ἐς τὸ ἕτερον μέρος, τοτὲ δὲ ὅλην, οἵη γίνεται καὶ [12]ἡ νοῦσος. Ὧδε δὴ ταῦτα εὐτρεπιστέον· ἢν μὲν προέλθῃ μοῦνον καὶ ᾖ διαχρίειν, χρῶ ᾧ

[1] Linden a mis ce morceau en tête du IIe livre *Des Maladies des femmes*. — [2] φύσεως C. – προσέλθωσιν C. — [3] ἐῶσιν CE, Ald. – Érot., p. 234 : χρήμνη, τὰ χείλη τοῦ γυναικείου αἰδοίου. Gal. Gloss.: κρημνοὶ, τὰ πτερυγώματα τοῦ γυναικείου αἰδοίου. — [4] ἐμβλήσιος Lind. – καλεύμενα Lind. – καλ. om. vulg. – Cette addition est bonne; voy. plus loin, p. 346, l. 10. — [5] Post δὲ addit οὐ Ald. – ξυν. Lind. – ἐμβάλλει C. — [6] δ' C. — [7] On a proposé de lire στενότητα; mais plus on remonte dans l'antiquité, plus on trouve le sens de ἀραιὸς indécis (voy. ce mot dans le Dict. de Schneider), et se prêtant à des interprétations diverses. Il n'y a donc rien à changer. Voy. d'ailleurs la glose d'Érotien où parmi les significations de ἀραιὰ il indique πυκνὰ καὶ στενά. — [8] πλησθεῖσαι vulg. – Il faut lire πρησθεῖσαι. Voy. Gal. Gloss.: πρῆσμα, ἐμφύσημα, καὶ πρήσιος, τῆς ἐμφυσήσεως, καὶ πρηστικώτατον, τὸ ἐμφυσητικώτατον. Voy. Hesych.: πρῆσαι, φυσῆσαι. Voy. enfin de Natura muliebri : ἢν αἱ μῆτραι φλεγμήνασαι πλησθῶσι (lisez πρησθῶσι), φῦσα ἐγγίνεται; et plus loin : ἢν πρισθῶσιν (lisez πρησθῶσιν) αἱ μῆτραι, ἥ τε γα-

fortune? Si en effet on avait quelque succès, ce succès serait sans conséquence, vu que celui qui ne fait pas bien échouerait en manquant aux autres conditions requises.

47. (*Maladies de femme, c'est-à-dire divers déplacements de l'utérus.*) Maladies appelées de femme. La matrice est la cause de toutes les maladies; car, de quelque façon qu'elle se déplace hors de sa position naturelle, soit qu'elle vienne en avant, soit qu'elle se retire, elle rend malade. Quand la matrice est déplacée en dehors sans porter son orifice sur les lèvres du vagin et sans y toucher, la maladie est très-petite. Mais si, portée en avant, elle applique son orifice sur les lèvres, d'abord ce contact cause de la douleur; puis, la matrice étant interceptée et obstruée par cette application de l'orifice sur les lèvres, le flux appelé menstrues ne se produit pas. Ce flux, retenu, détermine gonflement et souffrance. Si, descendant et déviée, elle s'applique à l'aine, des douleurs se font sentir. Si, se portant en haut, elle est déviée et interceptée, de cette façon aussi elle engendre une maladie par le resserrement. Quand la femme est malade de la sorte, il y a douleur aux hanches et à la tête (Épid. VI, 1, 1, t. V, p. 266). La matrice devenue emphysémateuse se gonfle, rien ne s'en écoule, et elle se remplit; étant remplie, elle touche les hanches. Quand la matrice, pleine de liquide et élargie, ne donne plus issue au flux et qu'elle touche les hanches, alors il survient des douleurs et aux hanches et aux aines; des espèces de boules courent dans le ventre, et la femme a mal à la tête tantôt d'un côté, tantôt des deux, suivant la condition de la maladie. Il faut traiter ainsi ces accidents : si la matrice

στὴρ αἴρεται καὶ φυσᾶται. Le mot en question a évidemment le sens de φυσᾷν; il ne peut donc être πλησθεῖσαι, lequel d'ailleurs ferait ici double emploi avec πλέαι, qui vient ensuite. — [9] ψαύωσι δὲ Lind. – δὲ τῶν vulg. – δὲ om. C. – ἰσχύων C. — [10] ἐπὴν.... ἰσχίων C. – ἐπὴν.... ἰσχίων om. vulg. – J'ai admis cette phrase, changeant seulement ψαύουσι, qu'a C, en ψαύωσι. — [11] ἐς Lind. – ἐς om. vulg. – πονέουσι Foes in not., Lind. – ποιέουσι vulg. — [12] οἱ Ald. – διαχρείειν C. – μυσεωτῷ vulg. – μυσσωτῷ L, Lind.

τινι βούλει τῶν κακόδμων, ἢ κέδρῳ, ἢ μυσσωτῷ, ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ [1]κακὸν ὀζομένων, καὶ κάπνιζε, καὶ μὴ πυρία, μηδὲ σιτίῳ μηδὲ πότῳ οὐρητικῷ χρῶ τούτου τοῦ χρόνου, μηδὲ λοῦε [2]θερμῷ. Ἢν δὲ ἀνακεχωρήκῃ καὶ μὴ ἀπεστραμμένη ᾖ, τοῖσιν εὐόδμοισι προσθετοῖσι χρῶ, ὅσα ἀναθερμαίνουσιν ἅμα· ταῦτα δὲ τοιάδε εἰσί· σμύρνῃ, ἢ μύρῳ, εἶθ' ἑνὶ ἄλλῳ εὐόδμῳ καὶ θερμαίνοντι ἅμα· τοιούτοισι προσθετοῖσι χρῶ· καὶ πυριᾷν οἴνῳ κάτωθεν, καὶ θερμῷ ὕδατι λούειν, καὶ διουρητικοῖσι χρῶ. Τὸ δὲ δῆλόν ἐστιν, ἢν μὴ [3]ἀποστραφῇ ἀνακεχωρηκυῖα, ῥεῦμα γίνεται· ἢν δὲ ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα· τοῦτο τὸ νόσημα πυρίῃ πρῶτον τοιῇδε χρὴ ἰᾶσθαι, ἐς οἶνον ἐρινέα [4]ἐμβάλλοντα, θερμαίνοντα τοῦτον, περιθέντα σικυωνίην περὶ τὸ στόμα τοῦ τεύχεος, ἐν ᾧ ἂν θερμαίνηται, ὧδε ποιῆσαι· σικυωνίην μέσην διαταμὼν, ἐκκενώσας, τὸ ἄκρον ἀποταμὼν σμικρὸν, ὡς ἐπ' ἀσκίων τοῦτο περιπωμάσαι, ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰεῖσα πρὸς τὴν μήτρην ἀφίκηται· καὶ θερμῷ ὕδατι αἰονᾷν, καὶ φαρμάκοισι θερμαίνουσι χρῆσθαι προσθετοῖσι. Θερμαίνοντα δ' ἐστὶ τὰ ἄγοντα τῶν πρόσθεν, τὰ δὲ τοιάδε, βόλβιτον, χολὴ βοὸς, σμύρνα, [5]στυπτηρίη, χαλβάνη, καὶ ἄλλο ὃ τοιοῦτόν ἐστι, τούτων ὡς πλείστοισι, καὶ ὑπεξάγειν ἐλατηρίοισι φαρμάκοισι κάτω ὅσα ἔμετον.[6]οὐ ποιέουσιν, ἀσθενέουσιν, ὅπως μὴ ἰνηθμὸς γένηται ἐκ τῆς ὑπερινήσιος. Τὰ δὲ προσθετὰ ὧδε χρὴ ποιέειν, ἢν βούλῃ ἰσχυρὰ ποιέειν· μέλι ἡμίεφθον ποιέων, [7]ἐμβαλέων γεγραμμένων προσθετῶν τῶν ἄγειν ποιούντων, καὶ ἐπὴν ἐμβάλλῃς, ποίησον ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας, μακρὰς δὲ [8]ποίει καὶ λεπτὰς ταύτας· τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας, [9]ἄνω

[1] Κακῶν C. — [2] Post θ. addit Lind. ταῦτα δὲ τοιάδε εἰσί. – δ' C. – ἀνακεχωρήκει vulg. – ἀνακεχωρήκοι Lind. — [3] ἀποστραφῇ C, Lind. – ἀποστροφῇ vulg. – δ' CE, Ald. — [4] ἐμβάλλοντος C. – [καὶ] θερμ. Lind. – τεύχους C. — [5] στηπτ. C. – ἄλλον sine ὃ C. — [6] οὐ Lind. – οὐ om. vulg. – Cette négation me paraît indispensable. – ἠνιθμὸς C, Ald. – ὑπερηνίσηος C. – ὑπερηνίσιος Ald. — [7] ἐμβαλλέων vulg. – ἐμβαλέων C. – ἔμβαλε τῶν γεγραμμ. Lind. – Cette correction de Lind. est peut-être fort juste ; cependant il n'est pas sûr que la forme ἐμβαλέων pour ἐμβαλὼν ne doive pas être conservée. En effet je trouve ὑπερβαλέειν, ἐμβαλέειν, t. V, p. 92, note 16, p. 116, note 13, p. 146, note 6, dans vulg. avec la forme ordinaire donnée par quelques mss., et περιβαλλέειν, p. 161, note 28, en variante. Il est donc fort possible qu'il y ait une forme de ce genre dans les écrits hippocratiques. — [8] ποίει C. – ποιέει vulg. – ποιέειν Lind. – καὶ [οὐ] λεπτὰς Lind. — [9] [καὶ] ἄνω Lind.

ne fait que s'avancer et s'il y a lieu à onction, employez ce que vous voudrez parmi les substances de mauvaise odeur, ou bien du cédros (*juniperus oxycedrus*, d'après M. Dierbach); soit du myssoton (*sorte de sauce où il entrait de l'ail*), soit toute autre chose d'odeur forte ou fétide; faites des fumigations; mais point de bain de vapeur, point d'aliment ou de boisson diurétique pendant ce temps, point de bain chaud. Si la matrice est remontée sans être déviée, employez en pessaires les aromatiques qui échauffent en même temps. Ce sont la myrrhe, un parfum ou toute autre substance à la fois aromatique et échauffante. Employez-les en pessaire; faites par le bas des fumigations avec la vapeur du vin; baignez dans l'eau chaude; administrez les diurétiques. Ceci est manifeste : si la matrice, se portant en haut, n'est pas déviée, le flux s'opère; mais, si elle est déviée, le flux nommé menstrues ne s'opère pas. Cette maladie doit être traitée d'abord avec le bain de vapeur que voici : on jette des figues sauvages dans du vin, on le fait chauffer, on met autour de l'orifice du vase où le vin s'échauffe une coloquinte; la coloquinte aura été coupée par le milieu et vidée, on en aura abattu la petite extrémité afin de l'appliquer comme on applique un couvercle sur les outres; l'odeur, traversant ce pertuis étroit, arrivera à la matrice. On fera des affusions d'eau chaude; on emploiera en pessaires les médicaments échauffants. Les échauffants sont ceux qui, parmi les précédents, sont emménagogues, à savoir : la bouze de vache, la bile de bœuf, la myrrhe, l'alun, le galbanum, et autres substances semblables; on les emploiera en quantité aussi grandes que possible. On évacuera par le bas à l'aide de médicaments évacuants qui ne provoquent pas le vomissement, on les donnera faibles afin que la purgation ne dégénère pas en superpurgation. On fera ainsi les pessaires, si on veut qu'ils soient forts : faites cuire à demi du miel, jettez-y celles, parmi les substances à pessaires écrites au livre, qui sont emménagogues; cela fait, disposez ces pessaires comme des suppositoires; mais qu'ils soient longs et minces. La femme sera couchée sur le

τοὺς πόδας ποιήσας τῆς κλίνης τοὺς πρὸς ποδῶν, [1] ἔπειτα πρόσθες, καὶ θέρμαινε ἢ ἐν ἀμίδι ἢ ἄλλῳ τινὶ, ἕως ἂν καταταχῇ· ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ προσθετὸν προστιθέναι, ἐς ὀθόνιον [2] ἐνδέων. Καὶ ἢν ὑγρότητος ἔμπλεαι οὖσαι αἱ μῆτραι τὸ στόμα συνοιδήσωσιν καὶ ἀῤῥοίην παράσχωσι, ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθετοῖσι φαρμάκοισι, καὶ πυριῶντα ὡς γέγραπται, οὕτω ποιεῦντα, ὥσπερ [3] κατὰ τὴν πρόσθεν ἀῤῥοίην· καὶ εἰ ἐς τὸ πρόσθεν προσχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν ὥσπερ ἐπὶ τῆς πρότερον ἀῤῥοίης. Ὅταν δὲ ῥόος ᾖ λίην, [4] οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι οὔτ' ἄλλῳ οὐδενὶ, οὔτε οὐρητικοῖσι χρῆσθαι οὔτε σιτίοισι διαχωρητικοῖσι· τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα εἶναι, ὡς μὴ ἡ κατάκλισις εὔροος ᾖ· καὶ προσθετοῖσιν ἅμα τοῖς στύφουσι χρῶ. Οἱ δὲ ῥόοι, ὁπόταν μὲν εὐθέως ἴκηται ἡ κάθαρσις, εὐθέως [5] ὑφαίμονες γίνονται, ὁπόταν δ' ἧσσον [6] ἴῃ, πυώδεες· καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον, αἱ δὲ πρεσβύτεραι [7] μυξώδεα μᾶλλον ἔχουσι τὰ καταμήνια καλεύμενα.

[1] Ἔπειτα πρόσθες, καὶ θερμαίνει ἐν ἀκηδίῃ ἄλλῳ τινὶ, ἕως vulg. – ἔπειτα πρόσθες ἐν ῥάκει δέων ἢ ἄλλῳ τινί, καὶ θερμαίνειν, ἕως Lind. – ἐν ῥάκει δέων ἢ ἄλλῳ pour ἐν ἀκηδίῃ ἄλλῳ est une conjecture de Cornarius, puis de Foes dans ses notes, conjecture adoptée par Lind. Le reste de la correction lui appartient. Quoique ἐν ῥάκει δέων soit une locution qui se rencontre souvent dans de pareilles formules pharmaceutiques, je la trouve bien éloignée de notre texte de vulg., et je lis θέρμαινε ἢ ἐν ἀμίδι ἢ ἄλλῳ. Ἀμίδι ἢ est, sauf le μ pour le κ, lettres que les copistes confondent souvent, la reproduction exacte, grâce à l'iotacisme, de ἀκηδίῃ. — [2] οὗ δέων pro ἐνδέων quædam exemplaria ap. Foes in notis. – ἐοῦσαι Lind. — [3] καὶ (δὲ pro καὶ C) vulg. – κατὰ pro καὶ Foes in not., Lind. – ἀροίην C. – προχωρέουσα C. – ἀρροιῆς C, Ald. — [4] οὕτω C, Ald. — [5] ὑφαίμονες C, Ald. – ὑφαίμονος (ὑφ. om. Lind.) vulg. – ὑφαίμων n'est pas dans les dictionnaires. — [6] εἴῃ C. — [7] μυρώδεα C.

dos; on élevera les pieds du lit qui répondent aux pieds de la malade; puis on appliquera le pessaire, et on fera chauffer la partie soit sur un pot de chambre, soit sur tout autre ustensile, jusqu'à ce que le pessaire soit fondu; si l'on veut qu'il agisse plus faiblement, on l'appliquera enveloppé dans un linge. Si, la matrice étant pleine de liquide, l'orifice se tuméfie et cause l'aménorrhée, il faut procurer le retour des règles par des pessaires, par des bains de vapeur comme il a été écrit, agissant ainsi que pour l'aménorrhée précédente. Si la matrice, se portant en avant, est déviée, il faut procurer le retour des règles comme pour l'aménorrhée précédente. Y a-t-il métrorrhagie? on n'échauffera ni avec de l'eau chaude ni avec rien autre, on n'emploiera ni diurétiques ni aliments relâchants; dans le lit le bout du côté des pieds sera plus élevé, afin que le décubitus ne favorise pas le flux; et en même temps vous emploierez les pessaires astringents. Les écoulements, tout d'abord et dans leur force, sont sanguinolents; quand ils diminuent, ils deviennent purulents. Le flux nommé menstrues est plus sanguinolent chez les jeunes femmes, plus muqueux chez les femmes plus âgées.

FIN DU LIVRE DES LIEUX DANS L'HOMME.

ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ.

DE LA MALADIE SACREE.

ARGUMENT.

Le traité *de la Maladie sacrée* est remarquable surtout par deux points de doctrine. Le premier, c'est que toutes les maladies sont de cause naturelle; l'auteur combat fortement ceux qui les attribuent à l'intervention divine; en cela il est d'accord avec l'auteur du traité *des Airs, des Eaux et des Lieux*, qui n'est pas moins explicite; voyez t. II, p. 77, § 22. Le second point est l'attribution de toute fonction intellectuelle et morale au cerveau, à l'exclusion de la poitrine. On sait qu'il a fallu arriver presque jusqu'à notre temps pour mettre cette doctrine hors de contestation.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, 2148 = Z, Cod. Cornar. ap. Mack = K', Cod. Samb. ap. Mack = P', Cod. Fevr. ap. Foes = Q', Cod. Vindobonensis n° IV = θ [1], Cod. Vaticanus ex

[1] Pour contrôler la collation de Mack, j'ai fait faire cette collation ainsi que celle du livre des Affections; voyez la note de la p. 139.

collatione Dietzii = ι, Cod. Mediolanensis ex collatione Dietzii = ϰ, Cod. Vindobonensis n° XXIV ex collatione Dietzii = λ, Cod. 4 Vaticanus, fragmentum, ex collatione Dietzii = μ[1].

COMMENTAIRE.

Prælectiones Vallisoletanæ in librum magni Hippocratis Coi de Morbo sacro, auctore D. Antonio Ponze Sancta Cruz, Matriti, 1631, in-fol.

[1] Les variantes des quatre mss. ι, ϰ, λ, μ, sont dues à Dietz. M. Ideler fils les a copiées; et M. Ideler père les a remises à M. le docteur Daremberg, qui, à son tour, a eu l'obligeance de me les communiquer.

ΠΕΡΙ ΙΕΡΗΣ ΝΟΥΣΟΥ[1].

1. Περὶ [2] μὲν τῆς ἱερῆς νούσου καλεομένης ὧδ' ἔχει· οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ ἱερωτέρη, ἀλλὰ φύσιν μὲν [3] ἔχει ἣν καὶ τὰ λοιπὰ νουσήματα, ὅθεν γίνεται. Φύσιν [4] δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖόν τι πρῆγμα εἶναι ὑπὸ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισιν· καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γινώσκειν τὸ θεῖον [5] αὐτῇ διασώζεται, κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ᾧ ἰῶνται, ἀπόλλυται, ὅτι καθαρμοῖσί τε ἰῶνται καὶ ἐπαοιδῇσιν. Εἰ δὲ διὰ τὸ θαυμάσιον θεῖον νομιεῖται, πολλὰ [6] τὰ ἱερὰ νουσήματα ἔσται καὶ οὐχὶ ἕν, ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια οὐδὲ τερατώδεα,

[1] Νουσου θ. – νόσου vulg. – οὐ γνήσιον Ἱπποκράτους τοῦτο λέγει ὁ Γαληνὸς, ἀξιολόγου δέ τινος ἀνδρὸς καὶ κατὰ τὴν ἑρμηνείαν καὶ τὴν διάνοιαν· Ἱπποκράτους γὰρ δοκεῖ οὐδὲν ἔχειν οὔτε κατὰ τὸν τρόπον τῆς ἑρμηνείας οὔτε κατὰ τὸ ἀκριβὲς τῆς διανοίας E. — [2] μὲν om. EHIJKZθιк, Ald., Frob., Dietz. – ἱρῆς Dietz. – Dietz, qui a suivi un ionisme systématique, a mis partout ἱρός. – νούσου θ, Lind., Mack. – νόσου vulg. – ὧδε θ, Dietz. – Dietz n'a nulle part admis l'apostrophe, mettant partout devant les voyelles ὧδε, ἀλλὰ, κατὰ, etc. Je note cela une fois pour toutes. — [3] ἔχειν Lind., Mack. – ἣν om. θι. – νοσ. θι. — [4] τε αὐτὴ θ. – τε αὐτὴν ι. – οἱ δ' ἄνθρωποι θι. – τι πρῆγμα θι. – τι πρῆγμα om. vulg. – Coray, Hipp. de Aer. Aquis, etc., t. II, p. 33, conjecture θείην; mais avec l'addition donnée par les mss. il n'y a rien à conjecturer. – ἑτέροισι sine νούσοισιν θι. – μὲν om. GIJKZ. – σχόλιον· θεῖον τινὲς φασὶ τὴν ἱερὰν νόσον· ταύτην γὰρ εἶναι θεόπεμπτον, ἱεράν τε λέγεσθαι ὡς θεῖαν οὖσαν. Ἕτεροι δὲ ὑπέλαβον τὴν δεισιδαιμονίην· ἐξεταστέον γάρ φησι ποταπῷ χρῆται τύπῳ ὁ νοσῶν· ἵνα εἰ μὲν ἰουδαῖός τις ᾖ, τὰ χοίρεια ἐπ' αὐτῷ παρατηρώμεθα· εἰ δ' αἰγύπτιος, τὰ προβάτια ἢ αἴγεια. Ἄλλοι δὲ θεῖον φασὶ τὸ ἐνθουσιαστικὸν πάθος· Βακχεῖος δὲ καὶ Καλλίμαχος, Φιλινός τε ὁ ταραντῖνος καὶ Ἡρακλείδης (lisez καὶ Ἡρ. ὁ ταραντῖνος) θεῖον ὑπέλαβον τὸ λοιμικὸν πάθος διὰ τοὺς λοιμοὺς ἐκ θεοῦ δοκεῖν εἶναι. Ὁ δὲ Ξενοφῶν ὁ Πραξαγόρου γνώριμος θεῖον ἔφη τὸ τῶν κρισίμων ἡμερῶν γένος· καθάπερ γάρ φησι τοὺς ἐν πελάγει χειμαζομένους οἱ διόσκουροι φανέντες σωτηρίαν ἐπιφέρουσι θεοὶ ὄντες, τοῦτο καὶ αἱ κρίσιμοι ἡμέραι γενόμεναι πολλάκις σωτηρίαν ἤνεγκαν. Γνωστέον οὖν ὅτι ὁ Ξενοφῶν ἁμαρτάνει, θεῖον φήσας τὴν κρίσιμον ἡμέραν. Εἰ γὰρ κατὰ τὸν Ἱπποκράτην πᾶσα ἡμέρα κρίσιμός ἐστι, διὰ τὸ ποτὲ μὲν τὰς ἁμαρτίας ὑπ' αὐτῆς ὡς κρισίμους ὁρίζεσθαι· πλειστάκις δὲ τὰς περιττὰς δεῆσαν ἐπὶ τῶν καμνόντων περὶ πᾶσαν ἡμέραν

DE LA MALADIE SACRÉE.

1. (*La maladie sacrée ou épilepsie n'est pas plus sacrée que les autres maladies. Vigoureuse critique des théories qui rattachent cette affection à une intervention surnaturelle, et des pratiques magiques et superstitieuses par lesquelles des charlatans prétendent la guérir.*) Voici ce qu'il en est de la maladie dite sacrée : elle ne me paraît avoir rien de plus divin ni de plus sacré que les autres, mais la nature et la source en sont les mêmes que pour les autres maladies. Sans doute c'est grâce à l'inexpérience et au merveilleux qu'on en a regardé la nature et la cause comme quelque chose de divin ; en effet elle ne ressemble en rien aux autres affections. Mais si l'impuissance où l'on est de s'en faire une idée lui conserve un caractère divin, d'autre part ce caractère lui est enlevé par la facilité d'employer le traitement que les gens mettent en œuvre, trai-

σκέπτεσθαι. Πρὸς τούτοις τί δή ποτε πλειστάκις περὶ κρισίμων λαλήσας εἰς ἕνα μόνον τόπον θεῖον ὠνόμασε τὴν κρίσιμον ἡμέραν; καὶ οἱ τὴν ἐπιληψίαν θεῖον οἰόμενοι εἰρῆσθαι οὐκ ἀνέγνωσαν τὸν ἄνδρα. Ῥητῶς γὰρ ἐνθάδε μέμφεται τοὺς θεόπεμπτον ὀνομάζοντας τὸ πάθος, δι' ὧν φησιν· οὐδέν τί μοι τῶν ἄλλων νούσων δοκέει θειοτέρη εἶναι οὐδ' ἱερωτέρη, ἀλλὰ φύσιν ἔχει ἣν καὶ τὰ λοιπὰ νοσήματα. Οἵ τε τὴν δεισιδαιμονίαν οἰόμενοι εἰρῆσθαι σφόδρα εἰσὶν εὐήθεις· οὐ γὰρ ἔμελλεν Ἱπποκράτει περὶ προγνώσεως γράφοντι μεμνῆσθαι τῶν διὰ τὰς (τροφὰς νοσούντων, ἀλλ' οὐδὲ τὰς μανίας, οὐδὲ τὸ ἐνθουσιαστικὸν πάθος. Τοὺς δὲ λέγοντας τὸν ἔρωτα θεῖον εἰρῆσθαι, πιθανῶς λέγειν καὶ εὐλόγως τὸν Ἱπποκράτην παρεγγυᾶν, ἵνα παρατηρῶμεν, μὴ ἄρα τὰ παρεπόμενα συμπτώματα δι' ἐρωτικήν τινα συμπάθειαν λέγεται E. – Voyez sur une partie de cette scholie, t. I, p. 75. — [5] αὐτῇ om. θικ. – ἀπορίην pro εὐπορίην GIJZ, Ald. – ἰήσιος ἰῶνται· ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν ἢ ἐπαοιδῇσιν (ἐπαοιδοῖσιν IJKZ, Ald.) vulg. – ἰήσιος ὠπῶνται ἀπόλλυται, ὅτι καθαρμοῖσί τε ἰῶνται καὶ ἐπαοιδῇσιν θ (ι, cum ἢ pro καί). – C'est, ce me semble, la bonne leçon, en lisant ᾧ ἰῶνται pour ὠπῶνται. Ωιωνται, écrit ainsi avec l'ι mis à côté au lieu d'être souscrit, a donné facilement ὠπῶνται. Au reste le texte de vulg. n'a qu'un semblant de sens. – πουλλὰ Dietz. – Dietz met partout πουλ au lieu de πολ dans ce mot. — [6] τὰ εἱρὰ (sic) νοσ. θκ. – τούτου εἵνεκεν pro καὶ οὐχὶ ἓν θι. – δεῖξο (sic) θι. – οὐδὲ τερατώδεα om. θ. – νόζει ἱρὰ pro νομίζει ἱερὰ θκ.

ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. Τοῦτο μὲν [1] γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοὶ καὶ οἱ τριταῖοι καὶ οἱ τεταρταῖοι οὐδὲν ἧσσόν μοι [2] δοκέουσιν ἱεροὶ εἶναι καὶ ὑπὸ θεοῦ γίνεσθαι ταύτης τῆς νούσου, [3] ὧν οὐ θαυμασίως γ' ἔχουσιν· τοῦτο δὲ [4] ὁρέω μαινομένους ἀνθρώπους καὶ παραφρονέοντας ἀπὸ μηδεμιῆς προφάσιος ἐμφανέος, καὶ πολλά τε καὶ ἄκαιρα ποιέοντας, ἔν τε τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας, τοὺς δὲ [5] πνιγομένους, τοὺς [6] δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας ἔξω καὶ παραφρονέοντας μέχρις ἂν ἐπέγρωνται, ἔπειτα δὲ [7] ὑγιέας ἐόντας καὶ φρονέοντας ὥσπερ [8] καὶ πρότερον, ἐόντας τ' αὐτέους ὠχρούς τε καὶ ἀσθενέας, καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ [9] ὧν περὶ ἑκάστου λέγειν πουλὺς ἂν εἴη λόγος. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα [10] ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, [11] ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι καὶ πλέον τι εἰδέναι. Οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης [12] τοῦ μὴ ἴσχειν ὅ τι προσενέγκαντες ὠφελήσουσιν, [13] ὡς μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες [14] ἐπιτηδείους τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν αὐτοῖσι, καθαρμοὺς προσφέροντες καὶ [15] ἐπαοιδὰς, λουτρῶν τε ἀπέχεσθαι κελεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν

[1] Γὰρ om. θι.–ἀφημερινοὶ EGHIJKZ. –ἀμφιμερινοὶ K.—[2] δοκοῦσιν ιροι (sic) θ. –γίγν. Dietz. –Dietz met partout γιγν dans γίγνομαι et γιγνώσκω. —[3] ὧν οὐ θαυμασίως γ' ἔχουσι (Hθ, sine γ') ικ. –κἂν (κῆν Dietz) οὐ θαυμασίως ἔχωσι vulg. –ὧν κἂν οὐ θαυμασίως γ' ἔχωσι E. —[4] ὁρῶ θ. –ἀπ' οὐδεμιῆς Hθ ικ. –ἐμφανέως ι. –τε ἅμα vulg. –ἅμα om. EFHIZθικ. –ποιεῦντας θικ. —[5] καὶ πν. vulg. –καὶ om. θκ. —[6] δ' αἴσσοντας θκ. –μέχρι θκ. –ἐξεγειρέωνται vulg. –ἐξεγερέωνται FK. –ἐξεγεραίονται J. –ἐπέργωνται ικ. –ἐπέγρωνται θ. –ἐξεγρέωνται EHZ, Ald., Dietz.—[7] καὶ ὑγ. vulg.–καὶ om. EHθικ.—[8] καὶ πρότερον EHQ'θικ.–τὸ πρότερον sine καὶ vulg.–ἐωντας ταυτεους (sic) θ.–ἐόντας τε αὐτοὺς vulg.–οὐκ ἅπαξ Dietz.–Dietz remplace partout dans des cas semblables l'aspirée par la ténue. —[9] ὧν περὶ ἑκάστου EHP'Q'θικ, Lind., Mack. –ὧν ἕκαστον vulg. –πουλὺς ι, Dietz. –πολὺς vulg. –ἢ pro εἴη κ. –νούσημα ubique Lind., Mack, Dietz. —[10] ἱρώσαντες θι. –ἀπιερώσαντες Dietz. –Partout, en composition semblable, Dietz remplace l'aspirée par la ténue. –Ante τοιοῦτοι addunt αὐτοὶ EHP'Q'κ. — [11] οὗτοι δὲ καὶ pro ὁκόσοι δὴ θι. –δὴ om. (H, restit. al. manu) κ. —[12] τὸ vulg. –διὰ τὸ Dietz. –« διὰ conjeci intercidisse, dit Dietz. » Cette conjecture avait déjà été proposée par Coray ad Heliod., 2, p. 310; mais la bonne leçon est celle qui suit, donnée par des

tement qui consiste en purifications et en incantations. Veut-on la supposer divine à cause du merveilleux qu'elle présente? mais alors il y aura beaucoup de maladies sacrées et non une seule; car je montrerai que d'autres maladies, que personne ne considère comme sacrées, ne sont ni moins merveilleuses ni moins effrayantes. En effet, d'un côté, les fièvres quotidiennes, tierces et quartes ne me paraissent aucunement moins sacrées ni moins dues à la divinité que cette maladie, et cependant personne ne s'en émerveille; d'un autre côté, je vois des hommes saisis de transport et de délire sans aucune cause manifeste faire une foule d'actes insensés; j'en vois beaucoup qui dans le sommeil poussent des gémissements et des cris, qui sont suffoqués, qui s'élancent, fuient au dehors et délirent jusqu'à ce qu'ils soient réveillés; puis les voilà sains et raisonnables comme auparavant, restant néanmoins pâles et faibles, et cela, non pas une fois, mais plusieurs. Je pourrais citer encore des cas de ce genre nombreux et variés; mais ce serait trop allonger le discours que d'entrer, pour chacun, dans le détail. Ceux qui, les premiers, ont sanctifié cette maladie, furent à mon avis ce que sont aujourd'hui les mages, les expiateurs, les charlatans, les imposteurs, tous gens qui prennent des semblants de piété et de science supérieure. Jetant donc la divinité comme un manteau et un prétexte qui abritassent leur impuissance à procurer chose qui fût utile, ces gens, afin que leur ignorance ne devînt pas manifeste, prétendirent que cette maladie était sacrée. A l'aide de raisonnements appropriés, ils arrangèrent un traitement où tout était sûr pour eux, prescrivant des expiations et des incantations, défendant les bains et

mss. – τοῦ (H, al. manu τῶ) θικ. – τῶ cod. Scaligeranus. – Je dois l'indication de ce ms. à des notes recueillies par Kühn, que M. le docteur Rosenbaum, qui veut bien s'intéresser à mes travaux sur Hippocrate, m'a communiquées. – ἔχειν θι. — [13] καὶ ὡς θι. – ἐῶσιν θ. – ιρον (sic) θ. — [14] ἐπιτηδίους θι. – ἐπιτηδέους ubique Dietz. – σφῖσιν θ. – αὐτοῖσι θι. – ἑωυτοῖσι vulg. — [15] ἐπαΐδὰς H. – λαμπρῶν pro λουτρῶν κ. – ἀπέχοντες sine κελεύοντες θι. – αἰδεσμάτων θι. – ἀνεπιτηδίων θ.

ἐσθίειν, θαλασσίων μὲν τρίγλης, [1] μελανούρου, κεστρέος, ἐγχέλυος (οὗτοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι), [2] κρεῶν δὲ αἰγείου καὶ ἐλάφων καὶ χοιρίων καὶ κυνὸς (ταῦτα γὰρ κρεῶν [3] ταρακτικώτατά ἐστι τῆς κοιλίης), ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος [4] καὶ ὠτίδος, ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι, λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομύου (δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει), ἱμάτιον δὲ μέλαν μὴ ἔχειν (θανατῶδες γὰρ τὸ μέλαν), [5] μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι μηδὲ φορέειν, [6] μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ χεῖρα ἐπὶ χειρὶ (ταῦτα γὰρ πάντα κωλύματα εἶναι). Ταῦτα δὲ [7] πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς πλέον τι εἰδότες καὶ ἄλλας προφάσιας λέγοντες, ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης, εἰ [8] δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡς [9] οὐκ αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν [10] αἴτιον εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων οὐδένα ὑγιαίνειν, [11] ὅτι ἐν αἰγείοισι δέρμασι κατακέονται καὶ κρέασιν αἰγείοισι χρῶνται, ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ τι μὴ αἴγειόν ἐστιν· οὐ γάρ ἐστιν [12] αὐ-

[1] Καὶ μελανούρου vulg. – καὶ om. θι. – οἱ ἰχθύες om. (H, restit. al. manu) θιχ. – ἐπικηρόταται θι. — [2] κρέως Hκ. – κρεέων (bis) Dietz. – αἰγείων θι. – Post αἰγ. addunt καὶ τύρου αἰγείου θικ. – ἐλαφείου vulg. – ἐλαφείων H. – ἐλαφρίων θ. – ἐλάφων ικ. – χοιρείων vulg. – χοιρίων θικ. — [3] τεραστικώτατα (E, gl. ταρακτικώτατα) FGHIJKZ, Ald. – τερατικώτατα ι. – ἐπὶ pro ἐστι FGIJKZ. – ἀλεκτόριδος θι. — [4] καὶ Εθι. – καὶ om. vulg. – ὀτίδος θι. – Gal. Gl. : ὀτίδος, τοῦ ὀρνέου, ὃ Ἀριστοτέλης ὠτίδα διὰ τοῦ ω καλεῖ, Ξενοφῶν δὲ ἐν τῷ πρώτῳ Κύρου ἀναβάσεως ὀτίδα διὰ τοῦ ο γράφει. – ἃ pro ἔτι δὲ ὅσα θι. – καὶ om. θ. – κρομμύου Hικ, Cod. Scalig., Lind., Mack. – κρομμύων θ. – συμφέρον Hι. – συμφέρειν θ. – τε μέλαν pro δὲ μέλαν θ. — [5] μηδὲν pro μηδὲ ἐν θι. – κατακεῖσθαι θ. — [6] πόδα ἐπὶ ποδὶ μὴ ἔχειν pro μηδὲ.... ἔχειν θι. – πόδια Cod. Scalig. – πάντα γὰρ ταῦτα θι. — [7] πάντα om. θ. – καὶ pro πάντα κ. – εἵνεκε F. – εἵνεκα θι. – λέγοντες θικ. – προλέγοντες vulg. – ὅπως θ. – ὑγιέες γένοιντο (θ, ὑγειέες) ι. — [8] δ' ἀποθάνοιεν θι. – ἀσφαλεῖ Dietz. – Dietz a mis partout cette forme pour les datifs singuliers. – ἀσφαλῆ κ. – ἀσφαλὲς (sine ἐν) καθισταῖτο αὐτῶν ἡ ἀπολογίη θι. – Dans H, une autre main a changé ἀποθάνοι, ἐν ἀσφαλεῖ en ἀποθάνοιεν, ἀσφαλεῖ. — [9] οὐδὲν EHP'Q'θικ. – οὐκέτι Cod. Mediceus ap. Mack. – αὐτοὶ om. θ. – οἱ θεοὶ pro αὐτοὶ ικ. – φαγεῖν οὔτε πιεῖν θ. — [10] αἴτιοι LCικ. – αἴσιον Scalig., qui simul observat Erotianum videri legisse ἀντεόνθεον. – Erot. Gl., p. 62 : ἀντεόνθεον, τὸν βλάβης ὑπονοούμενον ἔσεσθαι ἄνθρωπον. Ἀντίον δ' ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα· ὡς καὶ ὁ Σοφοκλῆς ἐν Κλυ-

divers aliments peu convenables à des malades : en fait de poissons de mer, le mulet, le mélanurus, le muge, l'anguille (ces poissons sont en effet ceux qui incommodent le plus) ; en fait de viandes, celles de chèvre, de cerf, de cochon de lait, de chien (ces viandes sont en effet celles qui dérangent le plus le ventre) ; en fait d'oiseaux, le coq, la tourterelle, l'outarde, et, en général, tous les oiseaux dont la viande passe pour être très-substantielle ; en fait de légumes verts, la menthe, l'ail, l'oignon (en effet ce qui est âcre ne convient pas à un malade) ; voulant qu'on ne porte pas un vêtement noir (le noir est mortel), qu'on ne couche pas sur une peau de chèvre et qu'on n'en porte pas, qu'on ne mette pas un pied sur l'autre, une main sur l'autre (tout cela forme autant d'empêchements). Ces observances, ils les imposent en vue du caractère divin du mal, se donnant l'air d'en savoir plus que les autres et alléguant diverses causes, afin que, si le malade guérit, la gloire en revienne à leur habileté, et que, s'il meurt, ils aient des apologies toutes prêtes, et puissent détourner d'eux la responsabilité du malheur et la jeter sur les dieux ; car ni aliments qu'ils aient donnés à manger, ni médicaments qu'ils aient fait boire, ni bains où ils aient cuit les patients, n'en peuvent être accusés. Pour moi je pense que, parmi les Libyens habitant l'intérieur des terres, nul ne se porte bien, vu qu'ils couchent sur des peaux de chèvres et se nourrissent de viande de chèvre, n'ayant ni couchette, ni couverture, ni chaussure qui

ταιμνήστρᾳ λέγων, τὸν δὲ ἄντεον περιδινέοντα οὐχ ὁρᾶτε, καὶ δεῖμα προσπνέοντα ἀντίας θεοῦ. Cette glose m'offre des difficultés insurmontables. Foes y rapporte ἀθεώτατον, qu'on trouve un peu plus bas ; il a, je crois, raison ; mais ce n'est pas ἀθεώτατον qu'Érotien a expliqué ; voy. p. 362, note 4. -Post Λιβύων addit ἂν Hκ.-τῶν om. K.-μεσόγεον θ.-οὐδὲν ἂν pro οὐδένα θι.—[11] ὅτι (εἴ τι θ) ἐπ' αἰγείοισι δέρμασι καὶ (καὶ om. H, restit. al. manu ; ἢ pro καὶ θικ) κρέασι εἵνεκά γε (κρέασιν ἦν ὡς ἐκεῖ γε ικ ; κρεασινην (sic) ὡς ἐκεῖ γε θ) οὐκ ἔχουσιν pro ὅτι.... ἔχουσιν FGHIJKZθικ, Ald., Cod. Mediceus ap. Mack.-ἐπ' pro ἐν P'.-κατακέονταί L, Lind., Dietz.-κατακείονται vulg.-κρέεσι Dietz.-χρέονται ubique Dietz.—[12] αὐτοῖς om. θικ.-αὐτοῖσι Lind., Dietz.-πρόβατον ι, Mack.-προβάτειον θ.-ἐσθιόμενα καὶ προσφερόμενα θι.-καὶ ἐσθιόμενα om. κ.

τοῖς ἄλλο προβάτιον οὐδὲν ἢ αἶγες καὶ βόες. Εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον[1] τίκτει τε καὶ αὔξει καὶ μὴ ἐσθιόμενα ἴῆται, [2] οὐκ ἐστὶν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς, οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ [3] ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις. Οὕτως οὖν ἔμοιγε δοκέουσιν οἵτινες [4] τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι οὔτε θεῖα· ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίνεται [5] καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν [6] ἐπιγίνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. Ὅστις γὰρ οἷός τε περικαθαίρων [7] ἐστὶ καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος, οὗτος κἂν [8] ἐπάγοι ἕτερα τεχνησάμενος, [9] καὶ ἐν τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. Τοιαῦτα λέγοντες καὶ [10] μηχανεύμενοι προσποιέονται πλέον τι εἰδέναι, καὶ ἀνθρώπους ἐξαπατέουσι προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, [11] ὅ τε πουλὺς αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει καὶ τὸ δαιμόνιον. Καίτοι ἔμοιγε οὐ περὶ [12] εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ [13] δυσσεβείης μᾶλλον, καὶ ὡς οἱ θεοὶ οὐκ εἰσὶ, τό τε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβές καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω. Εἰ γὰρ σελήνην [14] τε καθαιρέειν καὶ ἥλιον ἀφανίζειν [15] καὶ χειμῶνά τε καὶ εὐδίην ποιέειν καὶ ὄμβρους καὶ αὐχμοὺς [16] καὶ θάλασσαν ἄφορον καὶ γῆν καὶ τἄλλα

[1] Τίκτει (τίκτε sic ι) τε (τε om. EH) καὶ (καὶ om. Ald.) αὔξει EHθικ, Ald., Lind. – τίκτει τε καὶ om. vulg. – ἶᾶται θι. — [2] οὐκ ἔτι ὁ θεὸς αἴτιος ἐστὶν pro οὐκ.... οὐδενὸς θ (sine ἐστὶν ι). – οὐκ ἐστὶ ὁ θεὸς αἴτιος οὐδενὸς κ. – οὐδ' θι. – αἰδέσματα θι. — [3] ἰώμενά τε καὶ βλάπτοντα vulg. – ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα Hκ (καταβλάπτοντα pro καὶ τὰ βλ. θι). – ἰώμενά τε καὶ τὰ βλάπτοντα Z, Ald. – θεοῦ pro θείου θι. – ἐμοίγε θ. — [4] τῷ τρ. τούτω θι. – ἶᾶσθαι Fθ. – ιρα (sic) θ. – ὅπου Eθικ. — [5] καὶ om. GJKZ. – θεραπηίης Dietz. — [6] ἐπιγίνεσθαι θι. – ἀπογίνεσθαι vulg. – πράττειν pro προσπίπτειν J. – τὸ θεῖον μηκέτι θι. – περὶ .περικαθαίρων (sic) I. — [7] ἐστὶ θι. – ἐστι om. vulg. — [8] ἐπάγῃ vulg. – ἐπάγοι EHθικ. – ἀπάγοι Dietz. – Ita, credo, recte emendavi, dit Dietz. Cette correction est inadmissible; voy. la phrase précédente. – τεχνισάμενος κ. — [9] πάντως (π. om., H restit. al. manu, θικ) κἂν (καὶ ἐν Hθικ; κἂν καὶ ἐν E) τούτῳ vulg. – ἀπολύεται EHP'θιx, Mack. — [10] μηχανώμενοι θ. – μηχανεύμενοι Hκ. – μεμηχανεύμενοι vulg. – πλεῖον ἤ τι εἰδέναι ι. – πλεῖον ἢ εἰδέναι θ. – πλέον om. P'. – ἐξαπατῶσι θι. – αὐτοῖς pro τούτοισι θι. – καθαρότητος FJZ, Cod. Mediceus ap. Mack. – καθάρσιας θι. — [11] ὅτε (ὅτι Dietz) πουλὺ (πουλὺς FGHIKZκ, Ald.; πολὺς θι; ὁ πουλὺς Dietz) αὐτοῖσι (αὐτοῖς θι) vulg. – Il faut prendre, comme Dietz, πουλύς; mais, au lieu de changer ὅτε en

ne vienne de cet animal. En effet leur bétail consiste uniquement en chèvres et en bœufs. Si employer ces choses et s'en nourrir engendre et accroît la maladie, et n'en pas manger la guérit, la divinité n'y est pour rien, les expiations sont complétement inutiles; ce sont les aliments qui guérissent et qui nuisent, la puissance divine disparaît. Donc, à mon avis, ceux qui entreprennent la cure de telles maladies par de tels moyens ne considèrent ces affections ni comme sacrées ni comme divines. Car lorsque des maladies se déplacent par l'influence des expiations et d'un traitement de cette sorte, qui empêche que par d'autres pratiques analogues on ne les appelle et fasse tomber sur les hommes? A ce point, la cause n'est plus divine et elle est tout humaine. Celui qui, par des purifications et de la magie, a le pouvoir de chasser une telle affection, celui-là est en état, par des procédés différents, de la provoquer; et une telle argumentation supprime, sans plus, l'intervention divine. Avec ces discours et ces artifices ils se donnent pour posséder un savoir supérieur, et trompent le monde en prescrivant des expiations et des purifications; car ils ne parlent guère que de l'influence des dieux et des démons (*voy. note* 11). Dans leur opinion de tels discours vont à la piété; mais, dans la mienne, ils vont bien plutôt à l'impiété, et nient l'existence des dieux; ce qui, d'après ces gens, est religieux et divin, est, comme je vais le faire voir, irréligieux et impie. En effet ils prétendent savoir les moyens de faire

ὅτι et d'ajouter ὁ, il faut lire simplement ὅ τε. – ἐμοίγε θ. – *Démon* est pris ici, non dans le sens moderne, mais au sens grec; ce mot signifiant une divinité bonne ou mauvaise. — [12] Post εὐσ. addunt μᾶλλον GZ, Ald. – εὐσεβίης τοὺς λόγους δοκέουσι θι. – οἷόν τε pro οἴονται E. — [13] ἀσεβίης θι. – οἱ om. JKZθι. – δὲ pro τε θι. – εὐσεβὲς αὐτῶν καὶ (ἐς pro καὶ θι) τὸ θεῖον ἀσεβὲς ἐστι καὶ ἀνόσιον EHθικ. – εὐσεβὲς om. L. – ἀσεβὲς om. FGIJKLZ. — [14] τε om. θι. – καθαιρέειν κ. – καθαιρεῖν vulg. – κατάγειν θι. — [15] καὶ EHθι. – καὶ om. vulg. — [16] Lobeck, Aglaoph., t. I, p. 634, note 5, pense que ἄπορον a été omis et qu'il faut lire θάλασσαν ἄπορον καὶ γῆν ἄφορον. Cette correction très-ingénieuse est très-vraisemblable. Mais comme les mss. ne donnent pas de variante, et qu'à la rigueur le texte de vulg. peut s'entendre, je n'ai rien changé.

τὰ τοιουτότροπα πάντα [1] ὑποδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης [2] ἢ μελέτης φασὶν ταῦτα οἷόν τ' εἶναι γενέσθαι οἱ ταῦτ' ἐπιτηδεύοντες, δυσσεβέειν ἔμοιγε δοκέουσι καὶ θεοὺς [3] οὔτε εἶναι νομίζειν [4] οὔτ' ἐόντας ἰσχύειν οὐδὲν οὔτε εἴργεσθαι ἂν οὐδενὸς τῶν [5] ἐσχάτων, ὧν ποιέοντες πῶς οὐ δεινοὶ αὐτοῖσίν εἰσιν; εἰ γὰρ ἄνθρωπος μαγεύων [6] τε καὶ θύων σελήνην [7] τε καθαιρήσει καὶ ἥλιον ἀφανιεῖ καὶ χειμῶνα καὶ εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον [8] νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον, εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. Ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, [9] ἀλλ' ἄνθρωποι βίου δεόμενοι πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν [10] ἔς τε τἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην, ἑκάστῳ [11] εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες. Οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις ταῦτα μέμνηνται· κἢν μὲν γὰρ αἶγα [12] μιμῶνται, [13] κἢν βρύχωνται, [14] κἢν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶν αἰτίην εἶναι. Ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ Ποσειδῶνα αἴτιον εἶναι. Ἢν δὲ καὶ τῆς κόπρου [15] τι παρέῃ, ὃ πολλάκις γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν,

[1] Ὑποδέχονται θι. – ἐπιδέχονται vulg. – τελετῶν θι. — [2] καὶ pro ἢ θι. – φασὶν οἷοί (οἷόν GKZκ, Ald.) τε εἶναι οἱ ταῦτα vulg. – φασὶ ταῦτα (ταῦτα om. θ) οἷόν τ' εἶναι γενέσθαι οἱ ταῦτ' θι. – δυσσεβεῖν θ. – δυσεβέειν F. – ἐμοίγε θ. — [3] οὔτ' Zθ. — [4] οὔτ' FZ. – οὔτε ὄντας (ὄντας om. θικ) vulg. – ἂν om. K. — [5] ἐσχάτων ποιέοντες (ποιέοντας L), ἕνεκά γε πῶς οὐ δεινοὶ ἄρ' αὐτοῖσιν εἰσὶν vulg. – ἐσχάτων ποιέοντας (ποιέοντες Mercurialis in marg., Dietz)· ὧν ἕνεκά (εἵνεκά Dietz) γε πῶς οὐ δεινοὶ ἄρ' (ἄρα Dietz) αὐτοῖσίν εἰσιν Cod. Mediceus ap. Mack, Mercurialis in marg., Lind., Mack, Dietz. – ἐσχάτων ποιέοντες ὡς οὐ δεινοὶ αὐτοῖς ἔωσιν θι. – ἐσχάτων, ποιέοντες δὲ τάδε πῶς οὐ δεινοὶ ἄρ' αὐτοῖσίν εἰσιν K'P'. – Cette phrase, difficile à cause des altérations qu'elle a subies, me paraît pouvoir être restaurée aisément en ajoutant ὧν avant ποιέοντες; ce mot peut d'autant plus avoir été omis qu'avant est un mot terminé par ων; or, c'est un genre de faute que commettent facilement les copistes. Du reste on supprimera ἕνεκά γε avec deux de nos mss.; δὲ τάδε est une conjecture de Cornarius inscrite dans K' et P', et n'a pas d'autre valeur qu'une conjecture. Pour en ajouter une, je dirai que peut-être ἕνεκά γε est pour καὶ οὐχὶ ἕν; voyez p. 353, note 6, où, καὶ οὐχὶ ἓν étant la bonne leçon, des variantes la transforment en τούτου ἕνεκεν. — [6] τε om. θι. — [7] τε om. θ. – ἀφανείοι θι. – ἀφανιεῖ EH, Dietz. – ἀφανίσει vulg. — [8] νομίσαι K. – Post εἶναι addunt οὐδὲν θι. – ἀνθρώπεινον L. – Post ἀνθρώπινον addunt οὐδὲν θι. – δὴ om. θ. – ὑπ' θ. — [9] ἀλλὰ θ. – τεχνῶνται θι. — [10] ἔσται pro ἔς τε FJθι. – ἄλλα pro τἄλλα (H, τἄλλα al. manu) κ. — [11] εἴδι (sic) θ. – καθάπαξ om. θι. – ἓν pro καθ. Hκ. – ἄλλα θ. – Post πλ. addunt μὲν EH; γε μὴν θι. – ταῦτα EHθικ. –

descendre la lune, d'éclipser le soleil, de provoquer l'orage et le beau temps, la pluie et la sécheresse, de rendre la terre et la mer infécondes, et tant d'autres merveilles. Quelle que soit la cause, soit rites, soit toute autre connaissance ou pratique, dont les gens de ce métier disent tenir leur pouvoir, ils ne m'en paraissent pas moins être dans l'impiété et ne pas croire qu'il y ait des dieux, ou, le croyant, penser que ces dieux sont sans force et dans l'impuissance d'empêcher aucune de ces merveilles suprêmes qu'ils promettent. Or, exécutant de pareilles merveilles, comment ne seraient-ils pas redoutables aux dieux mêmes? Si un homme, par des arts magiques et des sacrifices, fait descendre la lune, éclipse le soleil, provoque le calme ou l'orage, je ne vois là rien qui soit divin; bien au contraire, tout est humain, car la puissance divine est surmontée et asservie par l'intelligence d'un homme. Sans doute il n'en est pas ainsi; mais des gens pressés par le besoin s'ingénient de mille manières et ont les imaginations les plus diverses pour la maladie dont il s'agit comme pour tout le reste, attribuant, pour chaque forme de l'affection, la cause à un dieu. Car ils rappellent ces idées non pas une fois mais cent: si le malade imite le bêlement de la chèvre, s'il grince des dents, s'il a des convulsions du côté droit, ils disent que la Mère des dieux est la cause du mal. Pousse-t-il des cris plus aigus et plus forts? ils le comparent à un cheval et accusent Neptune. Si quelque peu d'excrément est rendu (ce qui arrive souvent par les efforts que fait faire la maladie), le surnom est la déesse Énodie. Si ces excréments sont plus ténus et plus fré-

ταὐτὰ vulg. – μεμίμηνται EH (Q′, sed forte μεμίηνται) θ, Lind. – μεμίηνται P′. – μεμίμηται ικ. – καὶ ἣν ι. – ἣν κ. — [12] μιμῆται (H, al. manu μιμῶνται) κ. — [13] καὶ ἣν μὲν θ. – βρηχῶνται Z, Ald. – βρυχῶνται Dietz. – βρήχωνται G. – βληχῶνται Foes. in notis, Lind., Mack. — [14] ἢ θι. – σπᾶται θι. – ἐντονώτερον (al. manu εὐτ., H) ικ. – φθέγκηται (sic) κ. – εἰκάζηται, al. manu εἰκάζουσι H. – ἰκάζουσι θ. – ποσιδέωνα θ. – ποσιδεῶνα ι. – εἶναι om. E. — [15] τι om. θικ. – παρίῃ vulg. – παρείῃ Eθι. – παρέῃ κ. – ὅσα pro ὃ θ. – Post πολλ. addit τισὶ vulg. – τισὶ om. (H, rescript. al. manu) θικ. – ἐνοδίῃ θι. – ἐνοδείης οὗ EHIJKκ. – ἐνοδίης οὗ FGZ. – ἐν ὁδίης οὗ Ald. – προσκέεται Dietz.

Ἐνοδίου πρόσκειται ἡ προσωνυμίη· ἢν δὲ [1]λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. Ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. [2]Ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ [3]φόβητρα καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβολὰς καὶ ἡρώων ἐφόδους. Καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν [4]γε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον· καθαίρουσι γὰρ [5]τοὺς ἐχομένους τῇ νούσῳ αἵματί τε καὶ ἄλλοισι τοιούτοισιν ὥσπερ μίασμά τι ἔχοντας, ἢ ἀλάστορας, ἢ [6]πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν [7]τἀναντία τούτοισι ποιέειν, θύειν τε καὶ εὔχεσθαι καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς· νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ. Καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι, τὰ [8]δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπη μηδεὶς ἅψεται μηδὲ ἐπιβήσεται· [9]τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος. Οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ [10]ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου·

[1] Πυκνότερον καὶ λεπτότερον θιχ. – λακτίζει J. — [2] οἷσι pro ὁκόσα θι. – νυκτὸς δείματα θι. – ἀναπηδήσιος E. — [3] φόβ. om. (H, al. manu φόβιστρα) θιχ. – φόβηστρα I. – φεύξεις J. – ἐπιβολὰς EHθχ. – ἐπιβουλὰς vulg. – χρῶνται θι. – χρέωνται Fχ, Ald. — [4] τε pro γε Eθιχ. – Pour ἀθεώτατον Érotien a lu, je pense, ἀνταιότατον, *inimicissimum;* voyez p. 356, note 10. – Ante ποιέουσιν addunt πρῆγμα θιχ. – τὸ θεῖον om. (H, restit. al. manu) θιχ. — [5] τοῖσιν ἐχομένοισιν FGIJKZ. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι μιάσμασιν ἔχοντας (ἐχομένους K') ἢ ἀλάστορας vulg. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισι μιάσμασιν ἔχοντας (ἔχοντες K; ἔχοντα Z) ἢ ἀλάστορας FGIJKZ. – αἵμασι καὶ τοῖσι τοιούτοισι μιάσμασιν ἔχοντας ἢ ἀλάστορας Lind. – αἵμασι καὶ τοῖσιν ἄλλοισι τοιούτοισι μιάσμασιν ἔχοντας ἢ ἀλάστορας L, Mack. – αἵμασι καὶ τοῖσι ἄλλοισι τοιούτοισι μιάσμασι ἢ ἔχοντας ἀλάστορας Dietz. – αἵματί τε καὶ ἄλλοισι τοιούτοις ὥσπερ μιάσματι ἔχοντας ἢ ἀλάστορας θιχ. – Ce passage, difficile vu les altérations des mss., a appelé l'attention d'un critique fort illustre, M. Lobeck (Aglaophamus, t. I, p. 634, note 5) : Hic locus ita interpungendus videtur : καθαίρουσι τοὺς ἐχομένους τῇ νούσῳ, αἵμασι καὶ τοῖσι ἄλλοισι τοιούτοισι μιάσμασι ἔχοντας ἀλάστορας ἢ πεφαρμαγμένους, etc. Enumerat varios, quibus nebulones illi uti solent, lustrandi prætextus; aut enim eum, qui hoc morbo correptus est, inimici ab uno aliquo majorum seu vi seu veneno (αἵματα καὶ τοιαῦτα μιάσματα) peremti furiis agitari aut devotum esse aut propriorum scelerum conscientia laborare dicunt. La leçon des mss. θιχ, qu'il faut, je crois, préférer puisqu'elle est correcte (lisez seulement μίασμά τι au lieu de μιάσματι), ne donne pas précisément

juents comme chez les oiseaux, le surnom est Apollon Nomius. Avec l'écume à la bouche et des battements de pieds, c'est Mars qui est inculpé. Quand, la nuit, surviennent des peurs, des terreurs, des délires, des sauts hors du lit, des visions effrayantes, des fuites hors de la maison, ce sont, disent-ils, des assauts d'Hécate, des irruptions des Héros. Alors ils emploient les purifications et les incantations, faisant, à mon sens, de la divinité ce qu'il y a de moins saint et de moins divin; car ils purifient les personnes atteintes de la maladie avec du sang et autres choses de ce genre, comme si c'étaient gens ayant quelque souillure, des scélérats, des individus frappés d'un charme, ou ayant commis quelque action sacrilége. Loin de là, il faudrait employer des pratiques contraires, sacrifier, prier, et, allant dans les temples, implorer les dieux; mais ils n'ont recours à rien de tout cela, et n'emploient que les purifications. Quant aux objets purifiants, ils les cachent dans la terre, ils les jettent dans la mer, ils les transportent dans les montagnes, là où personne n'y touchera, ni ne marchera dessus. Mais il faudrait porter ces objets dans les temples et en faire offrande à la divinité, si tant est que la divinité soit en cause. Pour moi, je pense que le corps de l'homme n'est pas souillé par la divinité, ce qu'il y a de plus frêle par ce qu'il y a de plus pur. Mais s'il arrive que

ce sens-là.—[6] πεφαρμακευμένους θι.-πεφραγμένους GZ, Ald.-Comparez pour ces hommes *frappés d'un charme*, πεφαρμαγμένους, les anneaux enchantés, δακτύλιος φαρμακίτης, dont il y avait un si grand débit à Athènes (Aristophane, *Nubes*, v. 756-758, et le Scholiaste ad h. loc.).-ὑπ' θ.-ἢ πέργον pro ἤ τι ἔργον θικ.-εἰργασμένους FJKLP', Lind., Mack.-ἐργασαμένους vulg.-τοὺς pro οὓς Dietz.—[7] ταντία θ.-τούτων θι.-θύειν om. θικ.-ἐς θ, Dietz.-εἰς vulg.-ἱκετεύειν.... φέροντας om. GIJKZ, Cod. Mediceus ap. Mack.-οὐθὲν EH.—[8] δ' θ.-φέρουσι θι.-ὄκη Dietz.-ἄψεται H, Dietz.-ἄψηται vulg.-μηδὲν βήσεται θικ.-ἐπιβήσεται H, Dietz.-ἐπιβήσηται vulg.—[9] τάδε χρὴν θ.-χρῆν ικ.-ὁ θεὸς θι.-γε om. θ.-ἐγὼ θ.-ἐγὼν ι.—[10] ἐπικηρότατον Eθι, Cod. Mediceus ap. Mack.-ὑποκηρότατον vulg.-καὶ ἦν θι.-ὑφ' ἑτέρου θι.-πεπονθὸς ὑπὸ τοῦ (τοῦ om. ι) θεοῦ, καθαίρεσθαι ἂν αὐτὸ καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μαίνεσθαι pro πεπονθὸς...., μιαίνεσθαι θ (μιαίνεσθαι ι).

ἀλλὰ κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. Τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ [1]καθαῖρον καὶ ἁγνίζον καὶ ῥύμμα γινόμενον ἡμῖν, αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων [2]ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνῃ ἢν μὴ ἁγνεύῃ, εἰσιόντες τε [3]ἡμεῖς περιῤῥαινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.

2. Τὸ δὲ [4]νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ ἄλλα νουσήματα, καὶ πρόφασιν ὅθεν ἕκαστα γίνεται· φύσιν δὲ τοῦτο καὶ πρόφασιν [5]ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι ἀφ' ὅτου καὶ τἄλλα πάντα, καὶ ἰητὸν εἶναι, καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅ τι ἂν μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ᾖ, [6]ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων [7]τῶν προσφερομένων. Ἄρχεται δὲ ὥσπερ καὶ τἄλλα νουσήματα κατὰ γένος· εἰ γὰρ [8]ἐκ φλεγματώδεος φλεγματώδης, καὶ ἐκ χολώδεος χολώδης γίνεται, καὶ ἐκ φθινώδεος φθινώδης, καὶ ἐκ σπληνώδεος σπληνώδης, τί κωλύει [9]ὅτῳ πατὴρ καὶ μήτηρ εἴχετο, τούτῳ τῷ νοσήματι καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα; ὡς ὁ γόνος ἔρχεται [10]πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς, [11]ἀπό τε τῶν νοσερῶν νοσερός. Ἕτερον δὲ μέγα τεκμήριον ὅτι οὐδὲν [12]θειότερόν ἐστι τῶν λοιπῶν νουσημά-

[1] Καθαῖρον καὶ om. E. – καὶ om. ante ἁγνίζον P'. – ῥύμμα θικ. – ἔρυμα vulg. – ἔρημα Ald. – γινόμενον θικ. – γεν. vulg. – οὔρους Dietz. – ἱρῶν θι. — [2] δείκνυνται θι. – ὑπερβαίνοι vulg. – ὑπερβαίνῃ JLθικ, Lind. – ἢν Hθικ. – ἢ (εἰ FJKLP', Lind., Mack, Dietz.) vulg. – ἀγγεύῃ θι. – ἁγνεύοι vulg. – ἀγγεύοι Ald. – Dietz a mis entre crochets τε. — [3] ἡμεῖς θικ. – ἡμεῖς om. vulg. – περιραινόμεθα θικ. – ἀλλ'.... ἀφαγνιούμενοι om. θικ. – ἀλλ' ἔτι Codex Mediceus ap. Mack. – εἴχομεν Dietz. – μῦσος vulg. – μύσος Kühn, Dietz. – ἀπαγνιούμενοι vulg. – ἀφαγνιούμενοι EFGHIJKLZ, Ald., Lind. — [4] νόσ. θικ. – μοι om. GIJ. – θιότερον θ. – ἔχειν Lind. – ἣν om., et δὲ pro καὶ ι. – τἄλλα θ. – τὰ om. ι. – νοσήματα θικ. – καὶ πρόφασιν om. θικ. — [5] Ante ἀπὸ addit καὶ ι. – τοῦ αὐτοῦ θι. – τωὐτοῦ Dietz. – τὸ om. θι. – ἀφοτευ (sic) θ. – ἀπ' ὅτεο Dietz. – ὅτι μὴ vulg. – ὅτι ἂν μὴ EFHI (μὲν pro μὴ K) JP'κ, Mack. – ὅταν μὴ Dietz. – βεβιασμένον ἢ θι. – Ante καταβεβιασμένον addit καὶ κ. — [6] ὡς θ. – ὥστ' ι. – ἤδη om. θι. – ἰσχυρότερον εἶναι Hθι. — [7] τῶν om. θι. – τε pro δὲ θικ. – νοσήματα θ. — [8] ἐκ τοῦ vulg. – τοῦ om. θικ. – σπληνίας pro σπληνώδης θικ. — [9] ὅτου (ὅτεο Dietz) π. καὶ μ. εἴχετο τούτῳ τῷ νοσήματι (νουσήματι Dietz), τούτῳ (τούτων K) καὶ τῶν (καὶ ἐκ τῶν P'Q', Lind., Mack) ἐγγόνων (ἐκγόνων FHK; ἐκ γονέων J) ἔχεσθαί τινα vulg. – ὅτω π. καὶ μ. εἴχετο, τούτω τῷ νο-

ce corps reçoive, d'autre part, souillure ou souffrance, il sera sans doute nettoyé et purifié par le dieu loin d'être souillé. C'est donc la divinité qui nettoie et purifie les plus grandes et les plus impies de nos fautes, c'est elle qui nous lave; nous-mêmes nous traçons autour des temples des dieux et de leurs enceintes des limites que personne ne doit franchir s'il n'est en état de pureté; et, les franchissant, nous faisons des ablutions, non pas comme recevant quelque souillure, mais comme nous purifiant de toute tache si nous en apportons quelqu'une. Voilà quelle est mon opinion sur les expiations.

2. (*La cause de l'épilepsie est naturelle comme celle de toutes les autres maladies.*) Quant à la maladie dont il s'agit ici, elle ne me paraît pas plus divine que le reste, mais elle a la nature qu'ont les autres maladies, et la cause dont chacune dérive. Cela (la nature et la cause) est le divin d'où provient tout le reste. Elle est curable, et elle ne l'est pas moins que les autres affections, pourvu qu'un long temps ne l'ait point enracinée de manière à la rendre plus forte que les remèdes administrés. Elle naît, comme les autres maladies, par hérédité; si, en effet, d'un phlegmatique naît un phlegmatique, d'un bilieux un bilieux, d'un phthisique un phthisique, d'un individu à rate malade un individu à rate malade, où est l'obstacle que la maladie dont le père ou la mère a été affecté n'affecte aussi quelqu'un des enfants? car le sperme, venant de toutes les parties du corps, vient sain des parties saines, malade des parties malades (Des Airs, des Eaux et des Lieux, § 14, t. II, p. 60). Une autre grande preuve que cette affection n'est en rien plus divine que le reste, c'est qu'elle survient naturellement chez les phlegmatiques et n'attaque

οἰκήμασι κεράμια [1] ἢ κατὰ γῆς ἐστι μεστὰ οἴνου ἢ ἄλλου τινὸς ὑγροῦ, πάντα ταῦτα αἰσθάνεται τοῦ νότου καὶ διαλλάσσει τὴν μορφὴν [2] ἐς ἕτερον εἶδος· τὸν δὲ ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα πουλὺ ἀμβλυωπότερα καθίστησι τῆς φύσιος. Ὅτε οὖν καὶ τούτων οὕτω μεγάλων ἐόντων καὶ ἰσχυρῶν τοσοῦτον ἐπικρατέει καὶ τὸ σῶμα ποιέει αἰσθάνεσθαι καὶ μεταβάλλειν [3] ἐκ τῶν ἀνέμων τούτων ἐν τῇσι μεταλλαγῇσιν, ἀνάγκη τοῖσι μὲν νοτίοισι λύεσθαί τε καὶ φλυδᾷν τὸν ἐγκέφαλον καὶ τὰς φλέβας [4] χαλαρωτέρας εἶναι, τοῖσι δὲ βορείοισι ξυνίστασθαι τὸ ὑγιηρότατον τοῦ ἐγκεφάλου, τὸ δὲ [5] νοσερώτατον καὶ ὑγρότατον ἐκκρίνεσθαι καὶ περικλύζειν ἔξωθεν, [6] καὶ οὕτω τοὺς καταῤῥόους ἐπιγίνεσθαι ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τούτων. [7] Οὕτως ἡ νοῦσος αὕτη γίνεται καὶ θάλλει ἀπὸ τῶν προσιόντων τε καὶ ἀπιόντων, καὶ οὐδέν ἐστιν ἀπορωτέρη τῶν ἄλλων οὔτε ἰῆσθαι οὔτε γνῶναι, [8] οὐδὲ θειοτέρη ἢ αἱ ἄλλαι.

14. Εἰδέναι δὲ χρὴ [9] τοὺς ἀνθρώπους, ὅτι ἐξ οὐδενὸς ἡμῖν αἱ ἡδοναὶ γίνονται καὶ αἱ εὐφροσύναι καὶ γέλωτες καὶ παιδιαὶ ἢ ἐντεῦθεν, [10] καὶ λῦπαι καὶ ἀνίαι καὶ δυσφροσύναι καὶ κλαυθμοί. Καὶ [11] τούτῳ φρονεῦμεν μάλιστα καὶ νοεῦμεν καὶ βλέπομεν καὶ ἀκούομεν καὶ γινώσκομεν τά τε αἰσχρὰ [12] καὶ τὰ καλὰ καὶ τὰ κακὰ καὶ ἀγαθὰ καὶ ἡδέα καὶ [13] ἀηδέα, τὰ μὲν νόμῳ διακρίνοντες, τὰ δὲ τῷ [14] ξυμφέροντι αἰσθανόμενοι, τῷ δὲ [15] καὶ τὰς ἡδονὰς καὶ τὰς ἀηδίας τοῖσι καιροῖσι διαγινώσκοντες, [16] καὶ οὐ ταὐτὰ ἀρέσκει ἡμῖν. Τῷ δὲ αὐτῷ τούτῳ καὶ μαινόμεθα καὶ παραφρονέομεν, καὶ δείματα καὶ φόβοι παρίστανται ἡμῖ

[1] Ἢ κατὰ θικ. – ἢ om. vulg. – μεστὰ F, Mack. – μετὰ vulg. – τευ pro τινο Dietz. — [2] ἐς θ, Lind., Dietz. – εἰς vulg. – τόν τε ἥλιον θμ. – καὶ τἄλλα ἄστρ θμ. – πολὺ θ. – ἰσχυροτέρων θμ. — [3] ἐκ (ἓν pro ἐκ μ) τῶν ἀν. τούτων ἐν (ἐ om. θμ) τῇσι (ταῖς θμ) μεταβολῇσιν EFG (H supra lineam) IJKLZ, Lind (μεταλλαγαῖς θμ). – νηπίοισι pro νοτίοισι FGIJZ, Codex Mediceus ap Mack. – φλοιδᾶν vulg. – φλυδᾶν (E, supra lineam ἢ ὑγραίνεσθαι) θ, Lind. Mack, Dietz. — [4] χαλαροτέρας θ. – γίνεσθαι pro εἶναι θμ. – βορηΐοισι Dietz. ὑγρότερον pro ὑγιηρότατον EP. – ὑγρότατον pro ὑγιηρότατον FGIJKLZ – ὑγιηρότερον θμ. — [5] νοσηλότατον θμ. — [6] καὶ om. GIJZ. – οὕτως θ. – τὰ pro τοὺς IJK. – τούτων τῶν πνευμάτων Hθμ. — [7] οὕτως αὕτη ἡ νοῦσος θμ. γίνεταί τε καὶ θμ. – προσόντων FGIJKZ. – προσόντων τε καὶ ἀπώντων (sic Codex Mediceus ap. Mack. – οὐθὲν EFHIJKZ, Ald. – ἀπορωτέρα FZ. – ἀποῤ ῥωτέρη Ald. – ἰᾶσθαι θ. — [8] οὐδὲ θμ. – οὔτε vulg. – ἢ ὡς αἱ vulg. – ὡς om. (E restit. al. manu) θμ. — [9] τοὺς θμ. – τοὺς om. vulg. – ὅτι ἐξ οὐδενὸς ἢ αἱ ἡδοναι ἡμῖν γίνονται καὶ εὐφροσύναι, omisso αἱ, θμ. – ἐνθεῦτεν Dietz. — [10] Aut

souffle et devient terne de brillant, chaud de froid, humide de sec. Les vases de terre pleins de vin ou de quelque autre liquide qui sont dans les maisons ou sous terre éprouvent l'action du vent du midi et sont modifiés dans leur forme. Enfin le soleil, la lune et les astres perdent beaucoup de leur éclat. Puis donc que des choses si grandes et si puissantes en éprouvent une telle influence, et que le corps se ressent des changements de ces vents et en est modifié, il résulte nécessairement que les vents du midi relâchent le cerveau, le remplissent d'humidité et élargissent les veines, et que les vents du nord réunissent la partie la plus saine du cerveau et séparent la partie la plus malsaine et la plus humide, de sorte que l'humeur le baigne au dehors et que les fluxions se produisent lors des changements de ces vents. Ainsi cette maladie naît et s'accroît et par ce qui entre dans le corps et par ce qui en sort, elle n'est pas plus embarrassante que les autres, soit à traiter soit à connaître, et n'a rien de plus divin.

14. (*L'intelligence, le moral et la folie dépendent du cerveau.*) Il faut savoir que, d'une part, les plaisirs, les joies, les ris et les jeux, d'autre part, les chagrins, les peines, les mécontentements et les plaintes ne nous proviennent que de là (*le cerveau*). C'est par là surtout que nous pensons, comprenons, voyons, entendons, que nous connaissons le laid et le beau, le mal et le bien, l'agréable et le désagréable, soit que nous distinguions ces choses par les conventions d'usage, soit que nous les reconnaissions par l'utilité qu'elles nous procurent, ressentant, dans cette utilité même, le plaisir et le déplaisir, suivant les opportunités, les mêmes objets ne nous plaisant pas. C'est encore par là que nous sommes fous, que

καὶ addunt ὅθεν θμ. – μανίαι pro ἀνίαι θμ. – κλαθμοὶ I. — [11] τούτων GZ, Ald. – φρονέομεν θμ. – καὶ νοεῦμεν om. θ. – νοέομεν, omisso καὶ quod antecedit, κ. – διαγινώσκομεν θ. — [12] καὶ καλὰ καὶ κακὰ καὶ τἀγαθὰ θμ. — [13] ἀηδῆ, καὶ τὰ μὲν θμ. – νομώδια κρίνοντες θ. — [14] ξ. θ, Dietz. – σ. vulg. — [15] Ante τὰς addunt καὶ θμ. – καὶ om. vulg. – τοῖς καιροῖς θ. — [16] οὐ τὰ αὐτὰ, omisso καὶ, θμ. – ἀρέσει JKZ. – δ' αὐτῷ θ. – μαινομενόμεθα (sic) θμ.

τὰ μὲν νύκτωρ, τὰ δὲ [1]μεθ' ἡμέρην, καὶ ἐνύπνια καὶ πλάνοι ἄκαιροι, καὶ φροντίδες οὐχ ἱκνεύμεναι, καὶ ἀγνωσίη τῶν καθεστεώτων καὶ ἀηθίη καὶ ἀπειρίη. Καὶ ταῦτα πάσχομεν ἀπὸ τοῦ ἐγκεφάλου πάντα, ὅταν [2]οὗτος μὴ ὑγιαίνῃ, ἀλλ' ἢ θερμότερος τῆς φύσιος γένηται ἢ ψυχρότερος ἢ ὑγρότερος ἢ ξηρότερος, ἤ τι ἄλλο πεπόνθῃ πάθος παρὰ τὴν φύσιν ὃ μὴ ἐώθει. Καὶ μαινόμεθα μὲν ὑπὸ ὑγρότητος· [3]ὁκόταν γὰρ ὑγρότερος τῆς φύσιος ἔῃ, ἀνάγκη κινέεσθαι, κινευμένου [4]δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν μήτε τὴν ἀκοὴν, [5]ἀλλ' ἄλλοτε ἄλλο ὁρᾷν καὶ ἀκούειν, τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε· [6]ὁκόσον δ' ἂν ἀτρεμήσῃ ὁ ἐγκέφαλος χρόνον, τοσοῦτον καὶ φρονέει [7]ὁ ἄνθρωπος.

15. Γίνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος καὶ χολῆς· γνώσῃ δὲ ἑκάτερα ὧδε· οἱ μὲν [8]γὰρ ὑπὸ τοῦ φλέγματος μαινόμενοι ἥσυχοί τέ εἰσι καὶ οὐ βοῶσιν οὐδὲ θορυβέουσιν, οἱ δὲ ὑπὸ χολῆς κεκράκται [9]καὶ κακοῦργοι καὶ οὐκ ἀτρεμαῖοι, ἀλλ' αἰεί τι ἄκαιρον δρῶντες. [10]Ἢν μὲν οὖν ξυνεχέως μαίνωνται, αὗται αὐτοῖς αἱ προφάσιές εἰσίν· ἢν δὲ δείματα καὶ φόβοι παριστῶνται, ὑπὸ μεταστάσιος τοῦ ἐγκεφάλου· μεθίσταται δὲ θερμαινόμενος· θερμαίνεται δὲ ὑπὸ τῆς χολῆς, [11]ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐγκέφαλον, κατὰ τὰς φλέβας τὰς αἱματίτιδας ἐκ τοῦ σώματος· καὶ φόβος παρέστηκε μέχρις ἀπέλθῃ πάλιν [12]ἐπὶ τὰς φλέβας καὶ τὸ σῶμα· ἔπειτα πέπαυται. [13]Ἀνιᾶται δὲ καὶ ἀσᾶται παρὰ καιρὸν ψυχομένου τοῦ ἐγκεφάλου καὶ ξυνισταμένου παρὰ τὸ ἔθος· τοῦτο δὲ ὑπὸ φλέγματος πάσχει· [14]ὑπ' αὐτοῦ δὲ τοῦ πάθεος [15]καὶ ἐπιλήθεται. Ἐκ νυκτῶν δὲ βοᾷ καὶ κέκραγεν, ὁκόταν ἐξαπίνης

[1] Ante μεθ' addunt καὶ Hθμ. – ἀγρυπνίαι pro ἐνύπνια θ. – ἱκνεύμεναι θ. – ἱκνεύμενοι μ. – ἱκνεόμεναι Dietz. – ἱκνούμεναι vulg. – ἀγνωσίαι τῶν καθεστώτων θμ. – ἀηθίαι, omisso καὶ ἀπειρίη, θμ. – On a proposé de lire ἀπορίη au lieu de ἀπειρίη; mais ἀηθίη paraît appuyer la leçon ἀπειρίη. — [2] οὕτως θμ. – ἀλλὰ, omisso ἢ, θμ. – ἢ ὑγρότερος om. E. – τι om. J. – πεπόνθει J. – πεπόνθοι H. – εἰώθη vulg. – εἰώθει EJK. – ἐώθει θμ. – εἰωθὸς H. – ἐώθεε Dietz. — [3] ὅταν θμ. – γὰρ om. K. – ὑγρότερα GZ. – ἢ θ. – κεινέεσθαι θ. – κεινουμένου θ. – κινουμένου μ. — [4] Post δὲ addit τοῦ πάθεος vulg. – τοῦ πάθεος om. θμ. – Ces mots, τοῦ πάθεος, ont été mis par Dietz entre crochets comme suspects. — [5] ἀλλὰ ἄλλοτε ἄλλα θμ. – τὴν δὲ γλ. Dietz. – ὁποῖα pro οἷα θμ. — [6] ὅσον θμ. – ἀτρεμίσῃ EFHJKZθ. — [7] ὁ om. θμ. – δὴ pro δὲ, omisso ἡ, θμ. – διαφορὴ EG (H, al. manu διαφθορὴ) JXZθ. – γνώσει Hθμ. – δ' θ. — [8] γὰρ om. θ. – τοῦ om. Xθμ. – καὶ οὐ βοῆται οὐδὲ θορυβώδεες EHXP'θικ, Lind. — [9] τε καὶ θμ. – αἰεί τε vulg. – καὶ αἰεί τι E. – ἀλλ' αἰεί τι θ, Lind. – ἀλλὰ αἰεί τι Dietz.

nous délirons, que des craintes et des terreurs nous assiégent, soit la nuit, soit après la venue du jour, des songes, des erreurs inopportunes, des soucis sans motifs, l'ignorance du présent, l'inhabitude, l'inexpérience. Tout cela, nous l'éprouvons par le cerveau quand il n'est pas sain, c'est-à-dire quand il est trop chaud, ou trop froid, ou trop humide, ou trop sec, ou quand il a éprouvé quelque autre lésion contre nature à laquelle il n'est pas habitué. La folie provient de son humidité; en effet, devenu trop humide, il se meut nécessairement; se mouvant, ni la vue, ni l'ouïe ne sont sûres, le patient voit et entend tantôt une chose, tantôt une autre; la langue exprime ce qu'il voit et entend. Mais, tout le temps que le cerveau est dans le repos, l'homme a sa connaissance.

15. (*Effets différents de la bile et de la pituite sur le cerveau.*) L'altération du cerveau se fait par la pituite ou par la bile. Voici les signes distinctifs : les fous par l'effet de la pituite sont paisibles et ne crient ni ne s'agitent, les fous par l'effet de la bile sont criards, malfaisants, toujours en mouvement, toujours occupés à faire quelque mal. Telles sont les causes qui font que la folie est continue. Si le patient est en proie à des craintes et à des terreurs, cela provient du changement qu'éprouve le cerveau; or, le cerveau change quand il s'échauffe, et il s'échauffe grâce à la bile qui s'y précipite du reste du corps par les veines sanguines; alors la crainte assiége le patient jusqu'à ce que la bile rentre dans les veines et dans le corps; c'est à ce moment que le calme revient. D'autre part, le patient est livré à des tristesses et à des angoisses sans motif quand le cerveau se refroidit et se contracte

-καὶ εἴ τι FGHIJKXZ, Ald. -ἀλλ' αἰεὶ καὶ εἴ τι κ. — [10] εἰ JK. -ξυνεχῶς θμ. -μαίνονται FHJK, Ald. -αὐτοῖσιν Dietz. -αὐτοῖς om. (H, restit. al. manu) θμ. -εἴσιν om. GIJKZ. -Post ἐγκεφάλου addit γίγνεται Dietz. — [11] ὅταν θμ. -καὶ ὁ φόβος θμ. -μέχρι θμ. — [12] ἐς θμ. -κατὰ EFGJKLXZ. — [13] ἀνεῖται (E, al. manu ἀνιᾶται) FG (H, supra lineam) IJKZP'Q', Lind. -ἀνιῆται δὲ καὶ ἀσῆται Dietz. — [14] ἐπ' θμ. -δὲ om. Lind. — [15] καὶ om., restit. al. manu H. -ἐκ νύκτωρ (H, νυκτῶν al. manu) κ. -καὶ νύκτωρ EP'Q', Lind., Mack. -δὲ om. Lind. -ὅταν θμ.

ὁ ἐγκέφαλος διαθερμαίνηται· τοῦτο δὲ πάσχουσιν οἱ χολώδεες, [1]οἱ φλεγματώδεες δὲ οὔ· διαθερμαίνεται δὲ καὶ ἐπὴν τὸ αἷμα ἐπέλθῃ [2]πουλὺ ἐπὶ τὸν ἐγκέφαλον καὶ ἐπιζέσῃ. Ἔρχεται [3]δὲ κατὰ τὰς φλέβας πουλὺ τὰς προειρημένας, ὁκόταν τυγχάνῃ ὥνθρωπος ὁρέων ἐνύπνιον φοβερὸν καὶ ἐν τῷ φόβῳ ἔῃ· ὥσπερ οὖν [4]καὶ ἐγρηγορότι τότε μάλιστα τὸ πρόσωπον φλογιᾷ, καὶ οἱ ὀφθαλμοὶ ἐρεύθονται, ὁκόταν φοβῆται, καὶ ἡ γνώμη [5]ἐπινοέῃ τι κακὸν ἐργάσασθαι, οὕτω καὶ ἐν τῷ ὕπνῳ πάσχει· ὁκόταν δὲ ἐπέγρηται καὶ καταφρονήσῃ καὶ τὸ αἷμα πάλιν ἀποσκεδασθῇ [6]ἐς τὰς φλέβας τὰς προειρημένας, πέπαυται.

16. Κατὰ ταῦτα νομίζω τὸν ἐγκέφαλον δύναμιν [7]πλείστην ἔχειν ἐν τῷ ἀνθρώπῳ· οὗτος γὰρ ἡμῖν ἐστι τῶν ἀπὸ τοῦ ἠέρος γινομένων ἑρμηνεὺς, ἢν ὑγιαίνων τυγχάνῃ· τὴν δὲ φρόνησιν [8]αὐτῷ ὁ ἀὴρ παρέχεται. Οἱ δὲ ὀφθαλμοὶ καὶ τὰ οὔατα καὶ ἡ γλῶσσα καὶ αἱ χεῖρες καὶ οἱ πόδες [9]οἷα ἂν ὁ ἐγκέφαλος γινώσκῃ, τοιαῦτα πρήσσουσι· γίνεται γὰρ παντὶ τῷ σώματι τῆς [10]φρονήσιος, ὡς ἂν μετέχῃ τοῦ ἠέρος. Ἐς δὲ τὴν [11]ξύνεσιν ὁ ἐγκέφαλός ἐστιν ὁ διαγγέλλων· ὁκόταν γὰρ σπάσῃ τὸ πνεῦμα ὥνθρωπος ἐς ἑωυτὸν, ἐς τὸν ἐγκέφαλον πρῶτον ἀφικνέεται, καὶ οὕτως ἐς τὸ λοιπὸν [12]σῶμα σκίδναται ὁ ἀὴρ, καταλιπὼν ἐν τῷ ἐγκεφάλῳ ἑωυτοῦ τὴν ἀκμὴν καὶ ὅ τι ἂν ἔῃ φρόνιμόν τε καὶ γνώμην ἔχον· εἰ γὰρ ἐς τὸ σῶμα [13]πρῶτον ἀφικνέετο καὶ ὕστερον ἐς τὸν ἐγκέφαλον, ἐν τῇσι σαρξὶ καὶ [14]ἐν τῇσι φλεψὶ καταλελοιπὼς τὴν

[1] Οἱ φλεγματώδεες δὲ οὐ διαθερμαίνονται, ἐπὴν δὲ τὸ αἷμα vulg. – οἱ δὲ φλεγματώδεες οὔ· διαθερμαίνεται δὲ καὶ ἐπὴν τὸ αἷμα θμ. – οἱ φλεγματώδεες δὲ οὔ· διαθερμαίνονται δὲ ἐπὴν τὸ αἷμα Dietz. – οἱ φλεγματώδεες δὲ [οὔ]· οὐ [γὰρ] διαθερμαίνονται, ἐπὴν δὲ τὸ αἷμα Lind. – (οἱ φλεγματώδεες δὲ οὐ διαθερμαίνονται) ἐπὴν δὴ τὸ αἷμα Mack. – La leçon de θμ est la bonne. — [2] ἐπὶ τὸν ἐγκέφαλον πολὺ θμ. – πιέζῃ pro ἐπιζέσῃ X. — [3] δὲ om. Lind. – πουλὺ X, Lind., Mack, Dietz. – πολὺ vulg. – ὅταν Hθμ. – ὥνθρωπος θμ. – ὁ ἄνθρωπος vulg. – ὁρέων ὁ ἄνθρωπος Lind. – ἐνύπνιον ὁρέων HX (ὁρῶν, θμ). – πόνῳ pro τῷ φόβῳ θμ. – ᾖ θμ. — [4] καὶ om. FGIJKZ. – εἰ ἐγρηγόρει vulg. (ἐγρηγόρεε Dietz) (ἐκγρηγοροτει (sic) pro εἰ ἐγρηγόρει θμ). – μάλιστα θμ. – μᾶλλον vulg. – ἐρυθραίνονται X. – ἐρεύθωνται Ald. – φοβέηται Dietz. — [5] ἐπινοεῖ vulg. – ἐπινοέει Dietz. – ἐπινοέῃ θ. – ἐπινόῃ (sic) μ. – πάσχειν θ. – ὅταν δ' θμ. – σκεδασθῇ θμ. — [6] ἐς θ, Lind., Dietz. – εἰς vulg. – τὰς προειρημένας om. (H, restit. al. manu) θμ. — [7] ἔχειν πλείστην HXθμ. – ἡμῖν om. FGJKZ. — [8] αὐτῷ om. θ. – ἠὴρ Dietz. – δ' θ. – ὦτα θμ. — [9] Post πόδες addunt καὶ FGIJKZ, Ald. – οἷ' ἂν θμ. – ὑπηρετοῦσι vulg. – ὑπηρετέουσι Dietz. – πρήσσουσι θμ. – δὲ pro γὰρ L. – ἐν ἅπαντι θ. – ἐν παντὶ μ. — [10] Post φρ. addunt τε HXθμ. — [11] ξ. θ, Dietz. – σ. vulg. – ὅταν θ. – ὥνθρωπος θ. – ὁ ἄνθρωπος vulg. – ἀπικνέεται (H, al. manu

contre son habitude; c'est là un effet de la pituite. Cette affection produit encore la perte de la mémoire. Ce sont au contraire des cris et des clameurs que le patient pousse la nuit si le cerveau s'échauffe subitement. Cet échauffement survient chez les bilieux et non chez les phlegmatiques, et il survient quand le sang afflue en abondance au cerveau et y bouillonne; le sang y arrive en abondance par les veines susdites quand le patient se trouve avoir un songe effrayant qui le frappe de terreur. De même donc que, dans l'état de veille, le visage s'enflamme et les yeux rougissent surtout quand l'individu a de la crainte et que l'esprit médite quelque action violente, de même ces phénomènes se manifestent dans le sommeil; mais cet état cesse quand le réveil ramène la connaissance et que le sang se disperse de nouveau dans les veines susdites.

16. (*C'est l'air qui donne l'intelligence au cerveau.*) Pour ces raisons je regarde le cerveau comme l'organe ayant le plus de puissance dans l'homme, car il nous est, quand il se trouve sain, l'interprète des effets que l'air produit; or, l'air lui donne l'intelligence. Les yeux, les oreilles, la langue, les mains, les pieds agissent suivant que le cerveau a de la connaissance, en effet tout le corps participe à l'intelligence dans la proportion qu'il participe à l'air; or, pour l'intelligence le cerveau est le messager. Quand l'homme attire en lui le souffle, ce souffle arrive d'abord au cerveau, et c'est de cette façon que l'air se disperse dans le reste du corps, laissant dans le cerveau sa partie la plus active, celle qui est intelligente et connaissante. Si en effet l'air se rendait d'abord dans le corps, pour se rendre de là au cerveau, il laisserait l'intelligence dans les chairs et dans les veines, il arriverait échauffé au cerveau, et

ἀφικνέεται), Dietz. – ἀφικνεῖται θ. — [12] Ante σῶμα addit τὸ H. – σκιδνᾶται θμ. – ἠὴρ Dietz. – καταλελοιπὼς EHP'Q'θιx, Lind. – καταλελοιπὼν (sic) Mack. – ἢ θιx. – εἰς θι. — [13] πρῶτον repetitur FZ. – ἀφικνέεται vulg. – ἀπικνέεται (H, al. manu ἀφικνεῖται), Dietz. – ἀφικνεῖτο θ. – ἀφικνέετο ι. – ἀπικνέετο x. — [14] ἐν om. J. – ἀνήει pro ἂν ἴοι Hx. – εἴη vulg. – ἴῃ LK'P', Lind., Mack. – ἤει θμ. – ἴοι Dietz. – Post θερμὸς addit ἔτι vulg. – ἔτι om. (H, restit. al. manu) θμ. – οὐκ pro οὐχὶ θμ. – ἰκμάδει θμ.

διάγνωσιν ἐς τὸν ἐγκέφαλον ἂν ἴοι θερμὸς ἐὼν καὶ οὐχὶ ἀκραιφνὴς, ἀλλ' ἐπιμεμιγμένος τῇ ἰκμάδι τῇ [1]ἀπὸ τῶν σαρκῶν καὶ τοῦ αἵματος, ὥστε μηκέτι εἶναι ἀκριβής.

17. [2]Διὸ φημὶ τὸν ἐγκέφαλον εἶναι τὸν ἑρμηνεύοντα τὴν ξύνεσιν. Αἱ δὲ φρένες ἄλλως [3]οὔνομα ἔχουσι τῇ τύχῃ κεκτημένον καὶ τῷ νόμῳ, τῷ δ' ἐόντι οὐκ, οὐδὲ τῇ φύσει, [4]οὐδὲ οἶδα ἔγωγε τίνα δύναμιν ἔχουσιν αἱ φρένες ὥστε φρονέειν τε καὶ νοέειν, πλὴν [5]εἴ τι ὥνθρωπος ὑπερχαρείη ἐξ ἀδοκήτου ἢ ἀνιηθείη, πηδῶσι καὶ [6]ἄλσιν παρέχουσιν ὑπὸ λεπτότητος καὶ ὅτι ἀνατέτανται μάλιστα ἐν τῷ σώματι, καὶ κοιλίην οὐκ ἔχουσι πρὸς ἣν δέξονται [7]ἢ ἀγαθὸν ἢ κακὸν προσπῖπτον, ἀλλ' ὑπ' ἀμφοτέρων τούτων τεθορύβηνται διὰ τὴν ἀσθενείην τῆς φύσιος· ἐπεὶ αἰσθάνονταί γε οὐδενὸς πρότερον τῶν ἐν τῷ σώματι ἐόντων, ἀλλὰ μάτην τοῦτο τὸ [8]οὔνομα ἔχουσι καὶ τὴν αἰτίην, ὥσπερ τὰ πρὸς τῇ καρδίῃ ἅπερ ὦτα καλέεται, οὐδὲν ἐς τὴν ἀκοὴν ξυμβαλλόμενα. Λέγουσι δέ τινες ὡς [9]φρονέομεν τῇ καρδίῃ καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ [10]τὸ φροντίζον· τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ σπᾶται μὲν ὥσπερ αἱ φρένες καὶ μᾶλλον διὰ ταύτας τὰς αἰτίας· ἐξ ἅπαντος γὰρ τοῦ σώματος φλέβες ἐς αὐτὴν [11]συντείνουσι, καὶ ξυγκλείσασα ἔχει ὥστε αἰσθάνεσθαι, ἤν τις πόνος ἢ τάσις γίνηται τῷ ἀνθρώπῳ· ἀνάγκη [12]γὰρ καὶ ἀνιώμενον φρίσσειν τὸ σῶμα καὶ [13]συντείνεσθαι, καὶ ὑπερχαίροντα [14]τὸ αὐτὸ τοῦτο πάσχειν· διότι ἡ καρδίη αἰσθάνεταί τε μά-

[1] Ἀπό τε HIθμ. — [2] διὸ θ. – διότι vulg. – σύνεσιν J. — [3] οὔνομα θ, Lind., Mack, Dietz. – ὄνομα vulg. – μόνω τῶ δέοντι οὐδὲ τῇ φύσει pro νόμῳ.... φύσει L ex Cod. Cordæi. – τῶ δέοντι pro τῷ δ' ἐόντι FGHIJK, Ald. – τῷ δὲ ὄντι (ἐόντι Dietz) vulg. – τὸ δέον οὐ τῇ φύσει θιμ. – τῷ δέοντι οὐ τῇ φύσει κ. – οὐκ om. EFGHIJZ. – On pourrait prendre la leçon de θ en lisant τὸ δ' ἐὸν οὐ τῇ φύσει. — [4] οὐδ' θ. – νοέειν τε καὶ φρονέειν θμ. – νοεῖν vulg. – νοέειν Dietz. — [5] ἤν τι θμ. – ὥνθρωπος θμ. – ὁ ἄνθρωπος vulg. – ὑπερχαρῇ vulg. – ὑπερχαρείη Dietz. – ἀδοκήτων K. – ἐξ ἀπροσδοκήτου πάθους, omisso ἢ ἀνιηθείη, θμ. – ἀνιηθείη ELQ', Lind., Dietz. – ἀνιαθείη vulg. — [6] ἄσην vulg. – ἄλσην LQ'. – ἄλσιν EFGIJKZ, Lind., Mack. – πρὸς ἣν δέξωνται (δέξονται Ald., Frob., Dietz) vulg. – πρὸς ἣ δέξονται G. – πρὸς (ἐς Lind., Mack) ἥν τινα δέξασθαι χρὴ Q', Lind., Mack. – εἰς (ἐς θμ.; πρὸς ικ) ἥν τινα χρὴ δέξασθαι EHθ ικμ. — [7] ἢ om. Lind. – ὑπὸ θ. – τε θορύβην τε pro τεθορύβηνται θμ. – ἀσθενίην vulg. – ἀσθενείην H. – ἐπιαισθάνονταί γε pro ἐπεὶ αἰσθ. γε θμ. – ἐόντων (H, al. manu ἐνεόντων) θμ. – ἐνεόντων vulg. — [8] τοὔνομα Dietz. – οὔνομα θμ, Lind., Mack. – ὄνομα vulg. – ὥστε pro ὥσπερ, omisso τὰ, θμ. – ἅπερ om. (H, restit. al. manu) θμ. – οὔατα Dietz. – οὐδὲν om. Z, Lind. – ξυμβάλλεται θμ. — [9] Post ὡς addunt καὶ θμ. – ἀνεώμενον JK. – τουτέστι θ. — [10] τὸ om. FGIJ

il y arriverait non pur mais mêlé avec l'humeur provenant des chairs et du sang, de sorte qu'il n'aurait plus ses qualités parfaites.

17. (*Le cerveau est l'interprète de l'intelligence, à laquelle le diaphragme et le cœur sont étrangers. Réfutation de ceux qui placent l'intelligence dans le cœur.*) Je dis donc que le cerveau est l'interprète de l'intelligence. Mais le phren (*diaphragme*) a un nom (*de* φρονέω, *penser*) qu'il doit au hasard et à l'usage, mais non à la réalité et à la nature. Je ne vois pas en effet quelle influence il a pour la pensée et l'intelligence. A la vérité, quand on éprouve à l'improviste un excès de joie ou de chagrin, il tressaille et cause des soubresauts; mais cela tient à son peu d'épaisseur et à ce que dans le corps il est le plus étendu en largeur. Il n'a point de cavité où il puisse recevoir le bien ou le mal qui survient; mais il est troublé par l'une et l'autre de ces passions à cause de la faiblesse de sa nature. Il ne ressent rien avant les autres parties du corps, et c'est en vain qu'il a un tel nom et une telle attribution, comme cet appendice du cœur qu'on appelle oreille et qui ne contribue en rien à l'ouïe. Quelques-uns disent que nous pensons par le cœur, et que cet organe est ce qui éprouve le chagrin et les soucis; il n'en est rien. Le cœur se contracte comme le diaphragme et davantage encore pour ces causes-ci : des veines se rendent de tout le corps au cœur, et il les ferme, de sorte qu'il se ressent de tout travail, de toute tension qui arrive à l'individu. En effet, nécessairement, dans l'état de chagrin, le corps a le frisson et se contracte; il en est de même dans

KZ. – ταύτας τὰς θμ. – τὰς αὐτὰς vulg. – γὰρ om. θμ. — [11] τίνουσι θμ. – τείνουσι FGIJKZ. – ξυντείνουσι Dietz. – συγκλείσεις vulg. – ξυγκληΐσιας Dietz. – συγκλείσας EFGHIJZ. – ξυγκλείσας ι. – συγκλείσασα K. – ξυγκλείσασα θμ. – τε pro τις EP'. – ἡ τάσις γένηται θμ. – ἢ σύστασις (ξ. Dietz) γίνηται vulg. – σύντασις Cod. Scalig. ex notis Kühnii. — [12] δὲ pro γὰρ HP'θ, Lind., Mack. – γὰρ om. μ. – φρίσσειν τε μ. — [13] ξ. Dietz. – ὑπερχαῖρον L, Lind. — [14] τῷ ὑπὸ τούτῳ EHZ. – τῷ ὑπὸ τοῦτο FGIK, Ald. – ταὐτὸ pro τὸ αὐτὸ τοῦτο Lind. – τωὐτὸ pro τὸ αὐτὸ Dietz. – ὅτι pro διότι θμ. – ἃ καὶ pro καὶ αἱ θμ. – φρονήσεως Gθμ.

λιστα καὶ αἱ φρένες. Τῆς μέντοι φρονήσιος οὐδετέρῳ μέτεστιν, [1]ἀλλὰ πάντων τουτέων ὁ ἐγκέφαλος αἴτιός ἐστιν· ὥσπερ οὖν καὶ τῆς φρονήσιος [2]τοῦ ἠέρος πρῶτος αἰσθάνεται [3]τῶν ἐν τῷ σώματι ἐνεόντων, οὕτω καὶ ἤν τις μεταβολὴ ἰσχυροτέρη γένηται ἐν τῷ ἠέρι ὑπὸ τῶν ὡρέων, καὶ αὐτὸς ἑωυτοῦ [4]διάφορος γίνηται ὁ ἠὴρ, ὁ ἐγκέφαλος πρῶτος αἰσθάνεται· [5]διὸ καὶ τὰ νουσήματα ἐς αὐτὸν ἐμπίπτειν φημὶ ὀξύτατα καὶ μέγιστα καὶ θανατωδέστατα καὶ δυσκριτώτατα τοῖσιν ἀπείροισιν.

18. Αὕτη δὲ ἡ νοῦσος ἡ ἱερὴ [6]καλεομένη ἐκ τῶν αὐτῶν προφασίων γίνεται ἀφ' ὧν καὶ αἱ λοιπαὶ ἀπὸ τῶν προσιόντων καὶ ἀπιόντων, [7]καὶ ψύχεος, ἡλίου, πνευμάτων μεταβαλλομένων τε καὶ μηδέποτε ἀτρεμιζόντων. [8]Ταῦτα δ' ἐστὶ θεῖα, ὥστε μηδὲν διακρίνοντα τὸ νούσημα θειότερον τῶν λοιπῶν νουσημάτων [9]νομίζειν, ἀλλὰ πάντα θεῖα καὶ ἀνθρώπινα πάντα· φύσιν δὲ ἔχει ἕκαστον καὶ δύναμιν ἐφ' ἑωυτοῦ, καὶ οὐδὲν [10]ἄπορόν ἐστιν οὐδὲ ἀμήχανον· ἀκεστά τε τὰ πλεῖστά ἐστι τοῖς αὐτοῖσι τούτοισιν ἀφ' ὅτων καὶ γίνεται· ἕτερον γὰρ ἑτέρῳ τροφή ἐστι, [11]τῷ δὲ κάκωσις. Τοῦτο οὖν δεῖ τὸν ἰητρὸν [12]ἐπίστασθαι, ὅκως τὸν καιρὸν διαγινώσκων ἑκάστου τῷ μὲν ἀποδώσει τὴν τροφὴν καὶ αὐξήσει, τῷ δὲ ἀφαιρήσει καὶ κακώσει. Χρὴ [13]δὲ καὶ

[1] Ἀλλ' ἁπάντων τούτων θμ. – αἴτιος ὁ ἐγκέφαλός ἐστιν θ. – ὡς pro ὥσπερ θ. – ὥσπερ οὖν καὶ τῆς (sic) τοῦ ἠέρος pro ὥσπερ.... ἠέρος Lind. — [2] καὶ τοῦ vulg. – καὶ om. (H, restit. al. manu) θμ. — [3] Ante τῶν addit ὁ ἐγκέφαλος vulg. – ὁ ἐγκ. om. Hθ. – ἐόντων θ. – οὕτω θ, Dietz. – οὕτως vulg. – ἰσχυρότερον vulg. – ἰσχυροτέρα J. – ἰσχυροτέρη EHKL, Lind., Mack. – ἠέρει θ. – ὡραίων E. — [4] διάφορος γίνεται (γίνηται F, Ald., Lind.) ἐν τῷ ἠέρι· ὁ γὰρ ἐγκέφαλος διὰ τοῦτο πρῶτος αἰσθάνεται vulg. – διάφορος γίνηται (γίνεται H) ἐν τῷ ἠέρι (ἠέρει θ) ὁ (H, al. manu ὁ γὰρ) ἐγκέφαλος πρῶτος αἰσθάνεται (H, cum διὰ τοῦτο al. manu) θ (μ, habet διὰ τοῦτο). – Aucune des leçons fournies par les mss. ne me paraît satisfaisante. De plus, dans toute hypothèse, ἐν τῷ ἠέρι de vulg. ou des mss. est tout à fait dépourvu d'à-propos. Je pense qu'il faut lire en place ὁ ἠήρ; avec cette correction tout marche de soi. — [5] διὸ θμ. – διότι vulg. – νοσήματα θ. – ἐμπίπτει FGJZ, Ald. – θανατωδέστερα EH. – τοῖς θ. — [6] καλουμένη μ. – ἀπὸ pro ἐκ EHP'Q'θμ, Lind., Mack. – προφάσιων Lind., Mack. – ἀφ' ὧν om. θμ. – καὶ ἀπιόντων om., restit. al. manu H. — [7] καὶ θμ. – οἷον pro καὶ vulg. – ψύχεος θμ. – ψύξιος vulg. – καὶ ἡλίου καὶ πνευμάτων Hθμ. – οὐδέποτε HJθμ. – μηδέκοτε Dietz. — [8] ταύτη θμ. – η (sic) ἀποκρίνοντα pro διακρίνοντα θ (μ, sine η). – νόσημα θ. – νουσημάτων om. θμ. — [9] νομίσαι θμ. – πάντ' ἀνθρώπινα θμ. – ἔχει δὲ φύσιν μ. – ἕκαστον ἔχει θ. – ἐφ' ἑωυτοῦ θμ. – ἐν ἑωυτῷ vulg. — [10] ἄπειρον θ. – οὐδ' pro οὐδὲ θ. – τοῖς θμ. – τοῖς om. vulg. – ἀφ' ὧν θ. – ἐφ' ὧν μ. – ἀπ' ὁτέων Dietz. — [11] τὸ EHZκ,

l'excès de la joie. De tout cela le cœur et le diaphragme se ressentent le plus. Toutefois ni l'un ni l'autre n'a part à l'intelligence; c'est le cerveau qui est la cause de tout ce que j'ai indiqué. Donc, de même que, avant toute autre partie du corps, il reçoit l'impression de l'intelligence qui provient de l'air, de même, s'il arrive quelque changement notable dans l'air par l'effet des saisons et que l'air devienne différent de lui-même, le cerveau le premier en reçoit l'impression. Aussi je maintiens que le cerveau est exposé aux maladies les plus aiguës, les plus considérables, les plus dangereuses et de la crise la plus difficile pour les médecins inexpérimentés.

18. (*Conclusion.*) Quant à cette maladie dite sacrée, elle naît des mêmes influences que les autres, c'est-à-dire de ce qui arrive et de ce qui s'en va, de la froidure, du soleil, des vents qui changent sans cesse et ne sont jamais en repos. Ces choses-là sont divines, de sorte que cette maladie n'a aucun caractère qui la fasse regarder comme plus divine; mais toutes sont divines et toutes sont humaines. Chaque maladie a, par elle-même, sa nature et sa puissance, et aucune n'est inaccessible et réfractaire. La plupart sont curables par les mêmes influences qui les produisent; car ce qui est aliment pour une chose est destruction pour une autre. Donc c'est une connaissance que le médecin doit avoir, afin que, discernant l'opportunité de chaque cas, il donne l'aliment à ceci qui en sera augmenté et le retranche à cela qui, par ce retranchement, sera diminué. Il faut, dans cette maladie comme dans toutes

Ald. – τότε pro τῷ θι. – Post δὲ addunt καὶ θμ. — [12] ἐπίστασθαι καὶ (καὶ om. FGIJKZ, Ald.) τὸν καιρὸν διαγινώσκειν ἑκάστου, ὡς ἂν τὸ μὲν ἀποδώσει (ἀποδῷ τῇ L, Lind.) (ἀπολύσει K') τροφῇ καὶ αὐξήσει, τὸ δὲ ἀφαιρέσει καὶ μειώσει (ἀφαιρέσῃ καὶ μειώσῃ F; ἀφαιρήσῃ καὶ μειώσῃ I) vulg. – ἐπίστασθαι ὅκως τὸν καιρὸν διαγινώσκων ἑκάστου ὡς ἂν (ὡς ἂν om., restit. al. manu H) τὸ μὲν ἀποδώσει τροφῇ καὶ αὐξήσει τὸ δὲ ἀφαιρήσει καὶ μειώσει FH. – ἐπίστασθαι καὶ τὸν καιρὸν διαγινώσκειν (διαγιγνώσκειν Dietz), ὡς ἂν τῷ μὲν ἀποδώσει τὴν τροφὴν καὶ αὐξήσει, τῷ δὲ ἀφαιρήσει (ἀφαιρέσει Dietz) καὶ μειώσει Mack, Dietz. – ἐπίστασθαι ὅπως τὸν καιρὸν διαγινώσκων ἑκάστου τῷ μὲν ἀποδώσει τὴν τροφὴν καὶ αὐξήσει, τῷ δὲ ἀφαιρήσει καὶ κακώσει θμ. — [13] γὰρ pro δὲ θμ.

ἐν ταύτῃ τῇ νούσῳ καὶ [1] ἐν τῇσιν ἄλλῃσιν ἁπάσῃσι μὴ αὔξειν τὰ νουσήματα, ἀλλὰ σπεύδειν τρύχειν προσφέροντα τῇ νούσῳ τὸ πολεμιώτατον ἑκάστῃ, [2] καὶ μὴ τὸ φίλον καὶ σύνηθες· ὑπὸ μὲν γὰρ τῆς [3] συνηθείης θάλλει καὶ αὔξεται, ὑπὸ δὲ τοῦ πολεμίου φθίνει καὶ ἀμαυροῦται. Ὅστις [4] δὲ ἐπίσταται ἐν ἀνθρώποισι τὴν τοιαύτην μεταβολὴν καὶ δύναται ὑγρὸν καὶ ξηρὸν ποιέειν καὶ θερμὸν καὶ ψυχρὸν ὑπὸ διαίτης τὸν ἄνθρωπον, οὗτος καὶ ταύτην τὴν νοῦσον ἰῷτο ἂν, εἰ τοὺς καιροὺς [5] διαγινώσκοι τῶν ξυμφερόντων, ἄνευ καθαρμῶν καὶ [6] μαγευμάτων καὶ πάσης ἄλλης βαναυσίης τοιαύτης.

[1] Ἐν om. IKZ. – νοσήματα θ. – σπεύδειν om. (H, restit. al. manu) θ. – προσφέροντας vulg. – προσφέροντα θμ. — [2] καὶ HP'Q'θμ, Lind., Mack. – καὶ om. vulg. – τὸ φιλὸν καὶ om. E (H, restit. al. manu) θμ. – ξύνηθες Dietz. — [3] ξυνηθείης Dietz. – θάλλει τε καὶ θμ. – αὔξει K. – φθείνει τε καὶ θμ. — [4] δ' θ. – ἀνθρώποισι θ, Dietz. – ἀνθρώποις vulg. – τὴν τοιαύτην μεταβολὴν καὶ δύναται om. (H, restit. al. manu) θ. – ξηρὸν καὶ ὑγρὸν θ. – ποιέει θμ. – καὶ ψυχρὸν καὶ θερμὸν μ. – τὸν ἄνθρωπον om. (H, restit. al. manu) θμ. — [5] διαγινώσκει vulg. – διαγινώσκοι EHθ. – διαγιγνώσκοι μ. — [6] μαγίης pro μαγευμάτων θμ. – καὶ πάσης ἄλλης βαναυσίης τοιαύτης om. θμ. – τῆς pro ἄλλης κ. – τοιαύτης βαναυσίης FH (J, βαναύσιος) Kκ.

les autres, ne pas accroître le mal, mais se hâter de l'abattre en administrant ce qui lui est le plus contraire, et non ce qui lui est favorable et habituel. En effet le mal prospère et s'accroît par ce qui lui est habituel, mais se consume et se détruit par ce qui lui est contraire. Quiconque sait produire chez l'homme un tel changement et peut, par le régime, rendre le corps du sujet et humide, et sec, et chaud, et froid, est capable aussi de guérir cette maladie, à la condition de distinguer l'opportunité des moyens utiles, sans les purifications, les artifices magiques et tout ce charlatanisme.

FIN DU LIVRE DE LA MALADIE SACRÉE.

ΠΕΡΙ ΕΛΚΩΝ.

DES PLAIES.

ARGUMENT.

Ce traité contient plusieurs sages et bons préceptes sur le traitement des plaies. On y voit le résultat d'une expérience bien employée et d'une pratique bien conduite. Il est terminé par un grand nombre de préparations pharmaceutiques. On remarquera peut-être le § 3 de ce livre où évidemment le mot *bandage* n'est pas employé avec le sens général que nous y attachons aujourd'hui. Il s'agit en effet d'un bandage spécial, du bandage roulé avec compresses et bandes. Voyez sur ce point quelques explications que j'ai données t. III, p. XXXI.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, 2148 = Z, 2149 (fragments) = F', Cod. Fevr. ap. Foes = Q', 2287 = η.

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Chirurgia a græco in latinum conversa, Vido Vidio Florentino

interprete, cum nonnullis ejusdem Vidii commentariis, Lutetiæ Paris., 1544, in-fol. — En français, avec le commentaire de Vidus Vidius, Lyon, 1555, in-8°. — Les trois premiers livres de Chirurgie, par Fr. Lefèvre, Paris, 1555, in-8°. — Traduit par Dussaudeau, Saumur, 1612, in-12. — Hippocratis Coi chirurgia, nunc primum græce restituta, latinitate donata, et commentariis illustrata, a Steph. Manialdo, M. Doct. Parisiis, 1619, in-12. — Libro d'Ipocrate delle Ulcere con le note pratiche chirurgiche di Gius. Cignolozzi. Firenze, 1690, in-8°.

ΠΕΡΙ ΕΛΚΩΝ.

1. Ἕλκεα [1]ξύμπαντα οὐ χρὴ τέγγειν, πλὴν οἴνῳ, ἢν μὴ ἐν ἄρθρῳ ἔῃ τὸ ἕλκος· τὸ γὰρ ξηρὸν τοῦ ὑγιέος ἐγγυτέρω ἐστὶ, [2]καὶ τὸ ὑγρὸν τοῦ μὴ ὑγιέος· τὸ γὰρ ἕλκος ὑγρόν ἐστι, τὸ δὲ ὑγιὲς ξηρόν. Ἀνεπίδετον δὲ ἐᾷν ἄμεινόν ἐστιν, ὅ τι γε μὴ καταπλάσσεται· οὐδὲ καταπλάσσειν ἐνδεχόμενόν ἐστιν ἔνια τῶν ἑλκέων, μᾶλλον δὲ τὰ νεότρωτα τῶν παλαιοτέρων, καὶ τὰ ἐν τοῖσιν [3]ἄρθροισιν. Ὀλιγοσιτέειν τε ὡς μάλιστα καὶ ὕδωρ ξυμφέρει πᾶσι [4]τοῖσιν ἕλκεσι, μᾶλλον [5]δὲ τοῖσι νεοτρώτοισι τῶν παλαιοτέρων, καὶ ὅ τι ἄλλο φλεγμαίνει ἕλκος ἢ μέλλει, καὶ ὅ τι σφακελίσαι κίνδυνος, [6]καὶ τοῖσιν ἕλκεσι καὶ φλέγμασι τοῖσιν ἐν τοῖσιν ἄρθροισι, καὶ ὅκου [7]σπασμοὺς κίνδυνος ἐπιγενέσθαι, καὶ τοῖσιν ἐν κοιλίῃ τρώμασι, παντῶν δὲ μάλιστα τοῖσιν ἐν [8]κεφαλῇ καὶ μηρῷ κατεαγεῖσι, καὶ ἄλλῳ ᾧ κάτηξις ἂν γένηται. Ἑστάναι [9]δ' ἕλκεσι ἥκιστα ξυμφέρει, καὶ [10]ἄλλως ἢν ἐν τῷ σκέλεϊ ἔχῃ τὸ ἕλκος, [11]οὐδὲ καθῆσθαι οὐδὲ πορεύεσθαι· [12]ἀλλ' ἡσυχίῃ καὶ ἀτρεμίῃ ξυμφέρει μάλιστα. Τὰ δὲ νεότρωτα ἕλκεα πάντα ἥκιστα ἂν [13]φλεγμήναιεν αὐτά τε καὶ τὰ περιέχοντα, εἴ τις διαπυΐσκοι ὡς τάχιστα, καὶ τὸ πῦον μὴ ἀπολαμβανόμενον ἀπὸ τοῦ ἕλκεος τοῦ στόματος ἴσχοιτο, ἢ εἴ τις [14]ἀποτρέποι ὅκως μηδὲ μελλήσει διαπυῆσαι πλὴν τοῦ ἀναγκαίου πύου ὀλιγίστου, ἀλλὰ ξηρὸν εἶναι ὡς μάλιστα φαρμάκῳ μὴ περισκελέϊ. Πυρῶδες γὰρ γίνεται, ἐπὴν φρίκη ἐγγένηται καὶ σφυ-

[1] Ἕλκεα μὲν νῦν τὰ πρόσφατα, ἐν δὲ τῷ περὶ τραυμάτων καὶ βελῶν τὰ χρόνια οὕτω καλεῖ E. – ἔῃ EHIJKη. – εἴη vulg. — [2] τὸ δὲ pro καὶ τὸ EH. — [3] ἄθροισιν (bis) IJ. — [4] τοῖς K. — [5] δὲ om. H. – νεοτρώτοισι E (H, in marg. νεωτέροισι) Q'. – νεωτέροισι vulg. – ἄλλο om., restit. al. manu H. — [6] κ. τ. ἐν τοῖσιν ἄρθροισιν ἕλ. καὶ φλ. καὶ ὅκου EH. — [7] σπασμὸς vulg. – γεν. κίνδ. vulg. – κίνδ. γεν. IJK. – κίνδ. ἐπιγεν. EHQ'. – τραύμασι L. — [8] ἐν τῇ EH. – κατεαγέντι E (H, emend. al. manu). – καὶ ἄλλο ὅ τι ἂν κατεαγῇ E (H, al. manu text. vulg. in marg.) Q'. – ἂν om. vulg. – ἂν est nécessaire. — [9] δ' ἕλκεσι EH. – δ' ἐν τῷ ἕλκει vulg. — [10] ἄλλως, al. manu μᾶλλον H. – μᾶλλον vulg. – τῷ om. EHIK. — [11] ἀλλ' οὐδὲ vulg. – ἀλλ' om. EH. — [12] ἀλλ' ἡσ. H. – ἀλλ' ἡσ. δὲ E. – ἡσ. δὲ vulg. – μάλ. om., restit. al. manu H. — [13] φλεγμήνειεν E. – εἴ τι διαπυήσει, al. manu τις διαπυήσειεν H. – διαπυήσειεν E. – διαπυήσει vulg. – Je pense qu'il faut lire διαπυΐσκοι. — [14] ἀποτρέ-

DES PLAIES.

1. (*Du traitement des plaies.*) Il ne faut pas humecter les plaies, si ce n'est avec du vin, à moins qu'elles ne soient dans une articulation. L'état sec est plus près de l'état sain, et l'humide plus près de l'état malade; or, la plaie est humide, et le sain est sec. Il vaut mieux ne pas mettre de bandage quand on ne fait pas d'application médicamenteuse; et il ne convient pas de faire de telles applications en certaines plaies (*comp.* Des Plaies de tête, § 13, *et* Des Articulations, § 40), par exemple, moins dans les plaies récentes que dans les anciennes, et moins dans celles des articles que dans les autres. Il importe de manger aussi peu que possible et de boire de l'eau dans toutes les plaies, surtout dans les plaies récentes, et dans toute autre plaie qui est enflammée ou qui va le devenir, dans les cas où il y a danger de sphacèle, dans les plaies et les inflammations siégeant aux articulations, dans les menaces de spasme, dans les blessures du ventre, et particulièrement dans les fractures de la tête, de la cuisse et de toute autre partie. Il ne faut, dans les plaies et surtout dans les plaies des membres inférieurs, ni rester debout, ni rester assis, ni marcher; le repos et l'immobilité importent particulièrement. Toutes les plaies récentes s'enflammeront le moins; elles et les parties voisines, si on y fait marcher la suppuration aussi rapidement que possible, et si le pus n'est pas retenu par l'ouverture de la plaie, ou bien si, empêchant qu'il ne s'y forme de la suppuration, excepté la petite quantité qui est nécessaire, on entretient la plaie dans le plus grand état de sécheresse à l'aide d'un médicament qui ne soit pas irritant. L'inflammation s'éta-

πει EJ. – μελήσει FIJK. – Galien, Ad Glauc., II : φαρμάκῳ, ὡς Ἱπποκράτης φησὶ, μὴ περισκελεῖ, τουτέστι μὴ δάκνοντι μηδ' ἐρεθίζοντι σφοδρῶς.

γμός· φλεγμαίνει γὰρ τὰ ἕλκεα τότε, [1]ὁκόταν διαπυῆσαι μέλλῃ· διαπυεῖ δὲ, ἀλλοιουμένου τοῦ αἵματος καὶ θερμανθέντος, ἕως σαπὲν πῦον γένηται. [2]Τῶν τοιούτων ἑλκέων, ὅταν δοκέῃ δεῖσθαι καταπλάσιος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν, ἀλλὰ [3]τὰ περιέχοντα, ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα μαλαχθῇ. Τῶν δὲ ἑλκέων, ὅπερ [4]μὲν ἂν ὀξέϊ βέλεϊ διατμηθῇ ἢ διακοπῇ, ἐνδέχεται ἔναιμον φάρμακον καὶ τὸ κωλῦον διαπυεῖν ἀναξηραῖνόν τι. Ἤν τις [5]δ' ὑπὸ τοῦ βέλεος ἐφλάσθῃ καὶ ἐκόπῃ σὰρξ, ταύτην δὲ ἰητρεύειν, ὅκως διάπυος ὡς τάχιστα γένηται· ἧσσόν τε γὰρ φλεγμαίνει· καὶ ἀνάγκη τὰς σάρκας τὰς [6]φλασθείσας καὶ κοπείσας [7]σαπείσας καὶ πῦον γενομένας ἐκτακῆναι, ἔπειτα βλαστάνειν νέας σάρκας.

2. Ἕλκεϊ νεοτρώτῳ παντὶ, πλὴν ἐν κοιλίῃ, ξυμφέρει [8]ἐκ τοῦ τρώματος αἷμα ῥυῆναι αὐτίκα πλέον ἢ ἔλασσον· φλεγμαίνει γὰρ ἧσσον αὐτὸ τὸ ἕλκος καὶ τὰ περιέχοντα. Καὶ απο των πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀποῤῥέειν [9]πυκνὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι, καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων [10]καὶ τῶν περιεχόντων τὸ ἕλκος, ἄλλως τε καὶ ἢν ἐν κνήμῃ ἔῃ τὸ ἕλκος ἢ [11]ἐν δακτύλῳ ποδὸς ἢ χειρὸς, μᾶλλον ἤ [12]κου ἄλλοθι τοῦ σώματος· γίνεται γὰρ, ἀποῤῥέοντος τοῦ αἵματος, ξηρότερα καὶ μείονα ἰσχναινόμενα· κωλύει [13]γὰρ μάλιστα μὲν τὰ τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι, ἔπειτα δὲ καὶ τἄλλα ξύμπαντα αἵματος σηπεδὼν, καὶ ὅ τι ἐξ αἵματος μεταστάσιος γεγένη-

[1] Ὅταν, al. manu ὁκόταν H. – θερμαθέντος E. – In marg. πῶς διαπυεῖ ἡ τρῶσις τῆς σαρκός. Ὅτι οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν, ἀλλὰ τὰ περιέχοντα EH. — [2] Dans vulg. le point est après ἑλκέων, dans H il est après γένηται, ponctuation qui me paraît préférable. – δοκέῃ Codd. – δοκέῃς vulg. – δοκέῃς δὲ Lind. — [3] τὰ om. J. — [4] μὲν ponitur post βέλεϊ EL. – φάρμαξιν K. – κωλῦον Kühn. – κωλύον vulg. – ἀναξηραίνοντι Codd., Frob. – On appelait *enhème* (de ἐν, *dans*, et αἷμα, *sang*) des médicaments dont on se servait pour les plaies récentes. La composition en était variée. Voy. dans Celse, V, XIX, plusieurs de ces compositions. – τῶν δ' ἑλκέων ὅ τι μὲν ἂν ὀ. β. ἢ διατμηθῇ ἢ δ., ἐνδ. καὶ ἔν. φάρμακον τὸ κωλῦον διαπυεῖν καὶ ἀναξηραῖνον. Εἴ τις δ' ὑπὸ τ. β. ἐθλάσθη τε καὶ διεκόπη σὰρξ, Gal., Meth. med., IV. — [5] δ' EH (δὲ Lind.). – δ' om. vulg. – ἐθλάσθη FGZ, Ald. – δεῖ pro δὲ L. – δὲ om. Lind. – δὲ est ici pour δὴ comme il y en a tant d'exemples dans Hippocrate. – διάπυρος J. — [6] θλ. FGIJKZQ'. — [7] καὶ σαπ. vulg. – καὶ om. Codd., Ald. – σαπ. om. J. — [8] ἐκ.... ξυμφέρει om. vulg. – Ce passage, dont l'omission s'explique par la présence des deux ξυμφέρει, est donné par Galien, Meth. med., IV, 6, et doit être restitué comme l'ont très-bien vu Vidus Vidius et Foes. Celui-ci, qui ne l'a pas mis dans le texte grec, l'a ad-

blit avec le frisson et les battements; or, les plaies s'enflamment quand elles vont suppurer, et elles suppurent par l'intermédiaire du sang, qui se modifie et s'échauffe jusqu'à ce que, pourri, il soit transformé en pus. Quand de telles plaies semblent avoir besoin d'applications médicamenteuses, il faut faire ces applications, non sur la plaie elle-même, mais sur les parties voisines, afin que le pus s'écoule et que les portions indurées s'amollissent. Quant aux plaies faites par une arme tranchante qui a incisé ou enlevé la partie, il convient d'appliquer un médicament enhème (*voy. note 4*) et quelque substance siccative empêchant de suppurer. Mais les chairs qui ont été contuses et écrasées par l'instrument vulnérant doivent être traitées de manière à suppurer aussi vite que possible; de cette façon l'inflammation est moins forte, et nécessairement les chairs contuses et écrasées pourrissent, deviennent purulentes et se fondent, puis des chairs nouvelles bourgeonnent.

2. (*Du sang à tirer des plaies.*) Dans toute plaie récente, excepté au ventre, il importe de faire couler aussitôt, de la plaie, plus ou moins de sang; la plaie elle-même et les parties voisines s'enflamment moins. Pour les ulcères chroniques aussi, il est bon de produire fréquemment un écoulement de sang tant de la plaie que des parties avoisinantes, selon l'opportunité, surtout si la lésion siége à la jambe ou aux doigts du pied ou de la main (là cela importe plus que partout ailleurs); du sang s'écoulant, les parties s'atténuent et deviennent plus sèches et moins volumineuses; en effet, ce qui empêche la guérison de ces plaies en premier lieu et ensuite de toutes les

mis dans sa traduction. — [9] πυκινὰ Gal., ib. — [10] καὶ Lind. - και om. vulg. - La correction de Lind. me paraît parfaite. — [11] ἐν om., restit. al. manu H. — [12] κοῦ E (H, al. manu ποῦ). - που vulg. — [13] μὲν γὰρ (γ. om. J) μ. τὰ τ. vulg. - γὰρ μάλ. μὲν τὰ τ. H, Gal., ib. - γὰρ μάλ. τὰ τ. μὲν E. - ὑγιαίνεσθαι (ὑγιέα γίνεσθαι ms. 2160), ἔπ. δὲ καὶ τἄλλα ξ. αἵματος σηπεδὼν καὶ ὅ τι ἐξ αἵματος μεταστάσιος γεγένηται Gal., ib. - ὑγραίνεσθαι, ἔπ. δὲ καὶ τὰ σύμπαντα (ξ. EH) αἵματος σηπεδὼν καὶ ἐξ αἵματος μεταστάσιος γένηται vulg. - J'ai, comme Foes, suivi le texte de Galien.

ται. [1] Ξυμφέρει δὲ μετὰ τὴν τοῦ αἵματος ἀποῤῥοὴν ἐπὶ τῶν τοιούτων ἑλκέων καὶ σπόγγον ἐπιδεῖν πυκνὸν καὶ μαλθακὸν, τετμημένον, ξηρότερον ἢ ὑγρότερον, [2] καὶ ἐπὶ τῷ σπόγγῳ ἄνωθεν φύλλα [3] συχνὰ τίθεσθαι. Ἔλαιον δὲ καὶ ὅσα μαλθακώδεα ἢ ἐλαιώδεά ἐστι φάρμακα, οὐ ξυμφέρει τοῖσι τοιούτοισιν ἕλκεσιν, ἢν μὴ πάνυ ἤδη πρὸς ὑγιείην τείνῃ. Οὐδὲ τοῖσι νεοτρώτοισιν ἕλκεσι ξυμφέρει ἔλαιον, οὐδὲ μαλθακώδεα οὐδὲ στεατώδεα φάρμακα, ἄλλως τε καὶ ὅ τι ἂν δέηται ἕλκος πλείονος καθάρσιος· τὸ δὲ ξύμπαν εἰπεῖν, ἐλαίῳ τὴν [4] χρῆσιν ποιέεσθαι καὶ ἐν θέρει καὶ ἐν χειμῶνι, πρὸς ἃ τῶν τοιούτων φαρμάκων δεόμεθα.

3. [5] Ὑποκάθαρσις τῆς κάτω κοιλίης ξυμφέρει τοῖσι πλείστοισι τῶν ἑλκέων καὶ ἐν τρώμασιν [6] ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, καὶ [7] ὅσα σφακελίσαι κίνδυνος, καὶ ὅσα ῥαπτὰ, καὶ τοῖσιν ἐσθιομένοισι καὶ ἑρπυστικοῖσι, καὶ τοῖσιν ἄλλως πεπαλαιωμένοισιν ἕλκεσι, καὶ ὄκῃ ἂν μέλλῃ ἐπιδεῖν.

4. Οὐ χρὴ οὐδ' ἐμπλάσσειν τὰ φάρμακα, πρὶν ἂν πάνυ [8] ξηρὸν ποιήσῃς τὸ ἕλκος· τότε δὲ δεῖ προστιθέναι, ἀνασπογγίζειν δὲ τὸ ἕλκος [9] πολλάκις σπόγγῳ, καὶ αὖθις ὀθόνιον ξηρὸν καὶ καθαρὸν προσίσχων πολλάκις, οὕτω δὲ ἐπιθεὶς τὸ φάρμακον [10] τὸ δοκέον ξυμφέρειν, ἐπιδεῖν ἢ μὴ ἐπιδεῖν.

5. Ἕλκεσι τοῖσι πλείστοισιν ὥρη ἡ θερμοτέρη ξυμφορωτέρη τοῦ χειμῶνος, πλὴν τοῖσιν ἐν κεφαλῇ καὶ κοιλίῃ, [11] μᾶλλον δὲ ἡ ἰσημερινή.

6. Τὰ ἕλκεα ὁκόσα [12] μὴ καλῶς καθαρθέντα ἐς τὸ δέον αἰεὶ πρότερον ἄρξεται βλαστάνειν, ταῦτα ὑπερσαρκέει μάλιστα· [13] ὁκόσα δ' ἂν κα-

[1] Σ. J. – ξυμφέρῃ Ald., Frob. – τοῦ om. J. — [2] καὶ HQ'. – ἢ vulg. — [3] ἰσχνὰ vulg. – Les copistes confondent souvent ἰσχνὰ et συχνά; voy. p. 408, n. 4. — [4] χρῆσιν EHIJK (Z, χρίσιν mut. in χρῆσιν). – χρίσιν vulg. — [5] κάθαρσις γὰρ Gal. in cit. Comm. de Hum., II, text. 12. – ὅτι τοῖς ἕλκεσι συμφέρει ὑποκάθαρσις τῆς κάτω κοιλίας in marg. Codd. — [6] ἐν om. E. – καὶ ἐν κεφ Gal., ib. — [7] τὸ ὀστοῦν pro ὅσα Gal., ib. – σφακελλίσαι IK. – ῥάπτεται pro ῥαπτὰ Gal., Meth., IV, 6. – ἑρπυστικοῖσι EK, Lind. – ἑρπιστικοῖσι vulg. – ἕρπησ Gal. – καὶ τοῖσιν ἄλλοισι τοῖσι πεπαλ. Gal. – ὄκῃ EH. – ὅπῃ vulg. – ὅποι J. – καὶ ὁκοῖα δ' ἂν μέλλῃ τις ἐπιδεῖν, ὑποκαθαίρειν τὴν κάτω κοιλίην Gal. – μέλλῃ H, Kühn. – μέλῃ vulg. – μέλῃς (sic) Lind. – Post χρὴ addit [δὲ] Lind. — [8] ποιήσῃς ξ. J. – δεῖ om., restit. al. manu H. — [9] π. om. GZ. – προσίσχον J. — [10] τὸ om. J. – ξυμφερωτέρη FG (H, alia manu φε supra φο) IJKZ. – Ante τοῦ addit ἢ J. — [11] μάλιστα H. – ἡ om., restit. al. manu H. — [12] μὴ.... ὁκόσα ἐ

autres, c'est la corruption du sang et tout ce qui provient du déplacement de ce liquide. Après l'écoulement du sang on fera bien d'attacher sur des plaies de ce genre une éponge fine et molle, coupée, plutôt sèche qu'humide, et de mettre des feuilles nombreuses par-dessus l'éponge. Quant à l'huile et à tous les médicaments émollients ou huileux, ils ne conviennent pas à de telles plaies, à moins qu'elles n'aient déjà fait de grands progrès vers la guérison. Dans les plaies récentes non plus on ne se servira ni de l'huile ni des médicaments émollients ni des médicaments gras, surtout si la plaie réclame une mondification prolongée; en un mot, nous réserverons l'usage de l'huile soit en été soit en hiver pour les cas où les médicaments de ce genre nous font besoin.

3. (*De la purgation par le bas dans les plaies.*) La purgation par le bas convient à la plupart des plaies, à celles de la tête, du ventre, des articulations, à celles qui sont menacées de sphacèle, à celles où l'on pratiqué la suture, aux ulcères rongeants ou serpigineux, et en général aux ulcères chroniques, et dans les cas où il y a lieu de mettre un bandage.

4. (*De l'application locale des médicaments.*) Il ne faut pas non plus appliquer les médicaments avant d'avoir desséché complétement la plaie; cette précaution prise, on fait l'application; on épongera donc la plaie plusieurs fois, puis on pressera dessus à diverses reprises un linge sec et propre, alors on appliquera le médicament jugé utile, et enfin on mettra ou ne mettra pas un bandage par-dessus.

5. (*De la saison.*) La saison chaude est plus favorable que l'hiver à la plupart des plaies, si ce n'est aux plaies de la tête et du ventre; mais c'est la saison de l'équinoxe qui l'est le plus.

6. (*De la mondification des plaies.*) Les plaies qui, n'étant pas mondifiées d'une façon régulière et convenable, antici-

Gal., Meth., IV, 5.–μή.... ὁκόσα δ' om. vulg.–Vidus Vidius et Foes ont fait voir que ce membre de phrase, omis par les copistes, devait être repris dans la citation de Galien. — [13] ὁκοῖα Gal.–τε om. Gal.

θαρθέντα καλῶς τε καὶ ἐς τὸ δέον ἀεὶ [1]ἐπὶ τὸ ξηρότερον θεραπεύηται, πλὴν εἰ θλασθῇ, ταῦτα [2]δὲ οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πουλύ.

7. Ἢν ὁκοθενοῦν ὀστέον ἀφιστῆται ἢ καυθὲν ἢ πρισθὲν ἢ [3]ἄλλῳ τῳ τρόπῳ, τῶν ἑλκέων τούτων αἱ οὐλαὶ κοιλότεραι γίνονται.

8. [4]Ἕλκεα οὐ κεκαθαρμένα οὐκ ἐθέλει ξυνιέναι ξυναγόμενα, οὐδ' αὐτόματα ξυνέρχεται. Ὧν τὰ περιέχοντα φλεγμαίνει τοῦ ἕλκεος, ἔστ' ἂν μὴ παύσηται τῆς φλεγμασίης, οὐκ ἐθέλει ξυνιέναι· [5]οὐδὲ ὧν τὰ περιέχοντα τοῦ ἕλκεος μελανθῇ [6]αἵματος σηπεδόνι, ἢ [7]καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιῤῥοὴν τοῦ αἵματος, οὐδὲ ταῦτα ἐθέλει ξυνιέναι, ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος ὑγιέα ποιήσῃς. [8]Τῶν ἑλκέων τὰ κυκλοτερέα ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ πάντῃ ἐπιτάμνειν χρὴ τὰ ἀφεστεῶτα, ἢ πάντα, ἢ τὰ ἡμίσεα τοῦ κύκλου, κατὰ μῆκος τῆς φύσιος τοῦ ἀνθρώπου.

9. Ἐπὶ παντὶ ἕλκεϊ ἐρυσιπέλατος ἐπιγενομένου, κάθαρσιν [9]δεῖ ποιέεσθαι τοῦ σώματος, ἐφ' [10]ὁκότερα ἂν ξυμφέρῃ τῷ ἕλκεϊ, εἴτε ἄνω, εἴτε κάτω.

10. Ὅτῳ ἂν οἴδημα γένηται παρὰ τὸ ἕλκος, ἀφλεγμάντου ἐόντος τοῦ ἕλκεος, χρόνῳ ὕστερον πύου ὑπόστασιν ἴσχει τὸ οἴδημα. Καὶ ὅ τι ἂν τῇ φλεγμασίῃ οἰδῆσαν μὴ [11]καθιστῆται, τῶν ἄλλων καθισταμένων, ὅσα ἅμα ἤρξατο φλεγμαίνειν καὶ οἰδίσκεσθαι, καὶ τοῦτο κίνδυνος μηδ' ἅμα ξυνιέναι. Ὅσα δὲ πιπτόντων ἢ ἄλλῳ τῳ τρόπῳ διακόπτεται καὶ [12]φλᾶται, καὶ ἀνοιδίσκεται τὰ περιέχοντα τὸ ἕλκος,

[1] Πρὸς J. – θεραπεύηται πλὴν εἰ θλασθῇ Gal. – ποιῆται τὴν βλάστησιν pro θ. π. εἰ θλ. vulg. — [2] δὲ om. Gal. – οὐχὶ J. – ἐπὶ τὸ πουλὺ H. – ἐπιτοπολὺ vulg. — [3] ἄλλο K. — [4] περὶ ἑλκέων ῥυπαρῶν καὶ φλεγμαινόντων K. – ξυνηγόμενα FGZ. – συνειγόμενα J. — [5] οὐδ' EH. — [6] καὶ αἵμ. vulg. – καὶ om. H. – Dans H, à la marge est écrit de la main primitive γέγρ. τοῦ αἵματος; une main plus récente a transporté cette variante dans le texte et a rendu illisible la leçon qui y figurait en premier. – σηπεδῶνι Codd., Ald., Frob. — [7] καὶ om. K. – On doit, ce me semble, entendre κιρσὸς dans le sens très-général d'engorgement. Voy., plus loin, p. 408, n. 6, ὑποκιρσοῦται. — [8] ὅτι τὰ κυκλοτερῆ τῶν ἑλκῶν ἐπιμήκη δεῖ ποιεῖν in marg. Codd. – ἐπιτέμειν J. – ἐπιτάμειν (sic) K. – ἐφεστεῶτα J. – φύσεως J. – τῶν δ' ἑλ. τ. κυκλοτερῆ ἢν ὑ. ᾖ ἐν κ. περιτέμνειν χρὴ τὰ ἀφεστῶτα ἢ π. ἢ τὰ ἡ. τοῦ κ. κατὰ μῆκος τοῦ ἀνθρ. Gal., ib. — D'après Gal. ἀφεστεῶτα signifie *calleux*. D'après Vidius, il s'agit, comme dans les *Plaies de la tête*, de rendre long un ulcère arrondi. — [9] δεῖ om., restit. al. manu H. – τοῦ σ. ποιέεσθαι Gal., Comm. de Hum., I, text. 14. — [10] ὁπ. Codd. – μάλιστα pro ἂν Gal., ib. – ξυμφέρῃ FGHK. – ξυμφέρει vulg. — [11] καθιστῆται Codd. – καθίστηται vulg. — [12] φλ. EH. – θλ. vulg.

pent continuellement et se hâtent de bourgeonner, sont surtout sujettes à devenir fongueuses; mais celles qui, mondifiées d'une façon régulière et convenable, sont menées par le traitement, à moins qu'il n'y ait contusion, vers une dessiccation de plus en plus grande, ne sont guère sujettes à devenir fongueuses.

7. (*De la cicatrice après l'exfoliation d'un os.*) Si un os, en quelque lieu que ce soit, s'exfolie à la suite d'une cautérisation, d'une trépanation ou de toute autre cause, les cicatrices de plaies semblables sont enfoncées (Aph. VI, 45).

8. (*Des plaies qui ne se recollent pas.*) Les plaies non mondifiées ne veulent pas se recoller même si on en rapproche les bords, et elles ne se rapprochent pas spontanément. Les plaies dont le voisinage est enflammé ne se recollent pas tant que l'inflammation n'a pas cessé; celles dont le voisinage noircit, soit par la corruption du sang, soit par une varice (*un engorgement; voy. note* 7) qui fournit un afflux de ce liquide, ne se recollent pas non plus tant que les parties environnantes n'ont pas été rendues à la santé. Dans les plaies arrondies, si elles sont creuses, il faut inciser circulairement partout les parties décollées, la totalité ou la moitié (*voy. note* 8), suivant la longueur de la taille du sujet (Des Plaies de tête, §§ 13 et 14).

9. (*Erysipèle.*) Dans toute plaie, quand un érysipèle survient, il faut purger le corps par les voies qui conviennent à la plaie, c'est-à-dire par le haut ou par le bas.

10. (*Gonflement dans les plaies. Clapier et incision du clapier.*) Quand un gonflement se forme auprès d'une plaie qui, elle, demeure sans inflammation, il se dépose plus tard du pus dans le gonflement. Quand une partie, s'étant tuméfiée par l'inflammation, ne se détuméfie pas alors que s'affaisse le reste qui a commencé à s'enflammer et à se gonfler en même temps, il est à craindre qu'elle ne se recolle pas non plus en même temps. Quand dans une chute ou de toute autre façon il y a eu contusion et écrasement, puis gonflement des parties voisines de la plaie, suppuration, et écoulement du pus des

καὶ, διαπυήσαντα, πῦον ἀπὸ τῶν οἰδημάτων ἀποχωρέει κατὰ τὸ ἕλκος, τῶν τοιούτων ὅ τι ἂν δοκέῃ δεῖσθαι καταπλάσιος, οὐ [1] χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν, ἀλλὰ τὰ περιέχοντα, ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα λαπαχθῇ· [2] ἐπειδὰν δὲ λαπαχθῇ, καὶ ἡ φλεγμασίη παύσηται, [3] ἐπὶ τὰ ἀφεστηκότα σπόγγους ἐπιδέων προσιστάναι, ἀρχόμενος ἀπὸ τοῦ ὑγίεος ὀλίγον προσχωρέων· ἐπὶ δὲ τῷ σπόγγῳ ἄνωθεν φύλλα ἐπέστω [4] συχνά. Ὅ τι δ' ἂν μὴ δύνηται προστῆναι, ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστίν· ταύτην [5] ἐκβάλλειν. Ἢν ὑπὸ βαθείῃ σαρκὶ τὸ ἕλκος ἔῃ, κατ' ἄμφω κὰκ τῆς ἐπιδέσιος [6] κὰκ τοῦ προσπιέζοντος ὑποκιρσοῦται· τὸ [7] δὴ τοιοῦτον ἤν τις τάμνῃ, πρὸς μήλην, ἢν ἐνδέχηται, εὔροον ἀπὸ τοῦ στόματος τὸ ἕλκος ἀνατάμνειν, ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι, καὶ οὕτως ἰητρείην προσφέρειν, ὁκοίης [8] ἂν δοκέῃ προσδεῖσθαι. Ὡς δὲ τὰ πολλὰ ἐπὶ παντὶ ἕλκει, ὅ τι ἂν κοιλίην ἔχῃ [9] πρὸς τὸ ἰθὺ, καταφανὲς ἰδεῖν, οἰδήματος μὴ προσεόντος· [[10] ὅ τι δ' ἂν κοιλίην ἔχῃ μὴ πρὸς τὸ ἰθὺ ἢ οἰδήματος προσεόντος,] [11] ἢν μὲν ἔῃ ἐν αὐτῷ σηπεδὼν, ἢ ἡ σὰρξ ὑπέῃ μυδῶσα καὶ σαπρὴ, ἔσται

[1] Δεῖ E. — [2] ἐπ. δὲ λ. om. Z. – δὲ om. G. — [3] ἐπὶ τὰ K. – ἔπειτα vulg. – ἀφεστηκότας FH. – προχωρέων L. — [4] ἰσχνὰ HIJKL. – προσθεῖναι Gal., Meth. med., IV, 6. — [5] δεῖ ἐκβ. L. – ὑποβαθείῃ H. — [6] καὶ pro κὰκ K. – προσπιέζ. E H. – προσπιέσ. vulg. – ὑποκιρ. Codd. – ὑποκυρ. vulg. – Il faut prendre ὑποκιρσοῦται dans le sens de *s'engorger*; ce sens, qui me paraît ici évident, doit réagir sur κιρσὸς employé plus haut. Voy. p. 406, note 7. Foes propose de lire ὑποκυρτοῦται, *se tuméfie*, leçon plus claire sans doute, mais à laquelle s'oppose κιρσὸς du passage cité plus haut. — [7] δὲ EH. – ἢν HIJKL. – ἂν vulg. – προσμήλην EH. – ἐνδέχεται H. – εὔρροον J. – ἀνατάμνειν Codd. – ἀνατέμνειν vulg. — [8] δ' ἂν vulg. – δ' om. FHIJK. — [9] ἐς E (H, al. manu πρός). – καταφανέα vulg. — [10] [ὅ τι.... προσεόντος] om. vulg. – Vidius traduit : Fere autem omne ulcus, quod sinum habet rectum ita ut perspici possit, si tumore vacet, si caro subsit hebes et putris, et ipsum, et quod juxta est, nigrum se ostendet. Foes : Fere autem ulcus omne quod cavitatem habet, in quam recta conspici possit, tumore non præcedente, in eo si quidem putredo aut caro nimio humore marcida et putris subsit, tum ipsum ulcus tum quæ juxta sunt, nigra conspiciuntur. Ces traductions sont inintelligibles, du moins quant à la liaison des idées; car, pour qu'une plaie corrompue ou fongueuse prenne une apparence livide, qu'importe que le sinus en soit partout accessible à la vue? Est-ce que, les mêmes conditions subsistant, elle ne deviendrait pas livide, si le sinus n'en était pas accessible à la vue? Une pareille traduction n'est pas acceptable; mais elle est la reproduction du texte de vulg.; ce texte est donc altéré. J'avais d'abord songé à le modifier en lisant : μὴ πρὸς τὸ ἰθὺ καταφανέα ἰδεῖν, οἰδήματος προσεόντος, c'est-à-dire en déplaçant la négation; ce qu'on tra-

9. (*Chute du rectum.*) Quand il y a chute du rectum, repoussez la partie avec une éponge molle, frottez-la avec des escargots; attachez les mains du malade et suspendez-le pendant quelques moments : le rectum rentre. Si la procidence est plus considérable et que le rectum ne demeure pas au dedans, passez une ceinture autour des flancs, attachez par derrière à cette ceinture une écharpe, repoussez en dedans le rectum, appliquez une éponge molle, humectée d'une eau chaude où auront bouilli des sciures de lotus (*celtis australis*, L.); vous ferez aussi avec cette eau des affusions sur l'anus même; vous exprimerez l'éponge, puis vous passerez l'écharpe entre les cuisses et vous l'attacherez au nombril. Quand le patient veut aller à la selle, il se mettra sur une chaise percée aussi étroite que possible; si c'est un enfant, il sera posé sur les pieds d'une femme, contre les genoux de laquelle il aura le dos appuyé. Pendant la défécation, le malade étendra les jambes; c'est dans cette position que le rectum est le moins exposé à tomber. Si le rectum est humide et qu'il s'écoule de la sanie, on le lavera avec de la lie de vin brûlée et de l'eau de myrte. Faites sécher de l'adiante (*adiantum capillus Veneris*, L.), pilez-la, passez-la au tamis, et saupoudrez-en la partie. S'il y a hémorrhagie, lavez avec les mêmes eaux; prenez parties égales de chalcitis (*quelque sulfate de fer*) et de sciure de cyprès ou de cèdre, ou de pin, ou de térébinthinier, broyez,

ἢ πίτυος [1] ἢ τερμίνθου τρίψας, συμμίξας τῇ χαλκίτιδι ἴσον, καταπλάσσειν, τὰ ἔξωθεν δὲ κηρωτῇ παγείῃ [2] περιαλείφειν. Ὁκόταν ἀρχὸς ἐκπίπτῃ καὶ μὴ [3] θέλῃ κατὰ χώρην μένειν, σίλφιον ὅτι ἄριστον καὶ πυκνότατον ξύσας λεπτὸν καταπλάσσειν. Καὶ τοῦ πταρμικοῦ φαρμάκου πρὸς τὴν ῥῖνα προστιθέναι καὶ [4] παροξύνειν τὸν ἄνθρωπον. Ἢ ὕδατι θερμῷ περιπλύνας σίδια, καὶ στυπτηρίην τρίψας ἐν οἴνῳ λευκῷ, καταχέαι τοῦ ἀρχοῦ, ἔπειτα ῥάκεα [5] ἐμβαλεῖν, καὶ τοὺς μηροὺς ξυνδῆσαι ἡμέρας τρεῖς, καὶ νηστευέτω, οἶνον δὲ πινέτω γλυκύν. Ἢν δὲ μηδὲ οὕτω διαχωρέῃ, μίλτον μίξας ὁμοῦ μέλιτι διαχριέτω. Ἀρχὸς ἢν [6] ἐκπίπτῃ καὶ αἱμοῤῥοῇ· ἄρου ῥίζης περιελὼν τὸν φλοιὸν, ἑψεῖν ἐν ὕδατι· ἔπειτα τρίβειν ἄλητον ξυμμίσγων, καὶ καταπλάσσειν θερμόν. [7] Ἄλλο· τῆς ἀμπέλου [8] τῆς ἀγρίης, ἣν ἔνιοι καλέουσι ψιλώθριον, [9] ταύτης τὰς ῥίζας τὰς ἁπαλωτάτας περιξέσαντα ἑψῆσαι ἐν οἴνῳ μέλανι ἀκρήτῳ αὐστηρῷ· ἔπειτα τρίψαντα καταπλάσσειν χλιηρόν· ξυμμίσγειν δὲ καὶ ἄλευρα, καὶ φυρῆν ἐν οἴνῳ λευκῷ καὶ ἐλαίῳ [10] χλιηροῖς. [11] Ἄλλο· κωνείου καρπὸν τρίβοντα, παραστάζειν οἶνον λευκὸν [12] εὐώδεα, ἔπειτα καταπλάσσειν χλιηρόν. Ἢν δὲ φλεγμαίνῃ, κισσοῦ ῥίζαν ἑψήσας ἐν ὕδατι, τρίψας [13] λεῖον, ἄλευρον ξυμμίσγων ὡς κάλλιστον, ἐν οἴνῳ λευκῷ φυρήσας, καταπλάσσειν, καὶ [14] ἄλειφα πρὸς τούτοις ξυμμίξας. [15] Ἄλλο· μανδραγόρου ῥίζαν μάλιστα μὲν χλωρὴν, εἰ δὲ μὴ, ξηρὴν, τὴν μὲν οὖν χλωρὴν ἀποπλύναντα καὶ ταμόντα, ἑψῆσαι ἐν οἴνῳ [16] κεχρημένῳ, καὶ καταπλάσσειν· τὴν δέ γε ξηρὴν τρίψαντα καταπλάσσειν ὁμοίως. [17] Ἄλλο· σικύου πέπονος τὸ ἔνδον τρίψας λεῖον καταπλάσσειν.

10. Ἢν δὲ γένηται ὀδύνη καὶ μὴ [18] φλεγμήνῃ, λίτρον [19] ὀπτήσας

[1] Ante ἢ addunt ἢ τερεβινθίνου DFGHIJKZ. – C'est une glose passée dans le texte ; τερέβινθος étant la forme moderne et τέρμινθος la forme ancienne. — [2] ἀλείφειν D. — [3] θέλοι K. – θέλει Z. – Le silphion, avec son suc le laser, était une plante fort célèbre dans l'antiquité, mal connue des modernes, et qu'on rapporte au thapsia silphium, L. — [4] παροξύνας D. — [5] ἐμβαλλεῖν (sic) I. – ἐκβαλεῖν Ald. — [6] ἐκπίπτει Z. – ἄγνου pro ἄρου DQ'. — [7] ἕτερον HIJ. – ἄλλο om. F (G, restit. al. manu) KZ. — [8] τῆς om., restit. al. manu H. – καλέουσι DIK. – καλοῦσι vulg. – ψιλάθριον G, Ald. — [9] τουτέης vulg. – Lisez ταύτης vulg. – περιζέσαντα DFGHI, Ald. — [10] χλιηρῷ DH. — [11] ἄλλο om. F (G, restit. al. manu) K. – κωνίου FGIKZ. — [12] οἰνώδεα K. — [13] λείαν J. – συμμίσγων H. – λευκῷ om. K. — [14] ἄλειφαρ al. manu, erat prius ἄλειφα D. — [15] ἄλλο om. FG K. – ἄλλο.... ὁμοίως om. Z. – μανδραγούρου D. — [16] κεχρημένῳ ponitur post καταπλάσσειν K. — [17] ἄλλο om. FGKZ. – σικίου J. — [18] φλεγμήνη DH. – φλεγμαίνῃ vulg. – νίτρον D. — [19] ἑψήσας G, Ald. – τρίψους (sic) pro τρίψας H. – καὶ στυπτηρίην.... λείους om. (D, restit. al. manu) GZ, Ald. – στυπτηρία F.

mêlez et appliquez en cataplasme. Vous enduirez les parties extérieures avec le cérat épais (*cérat fait avec la résine, voy.* t. III, p. 509). Quand le rectum tombe et ne veut pas demeurer en place, prenez du silphion (*voy. note* 3) aussi bon et dense que possible, râclez-le menu, et appliquez-le en cataplasme. Mettez aussi le médicament sternutatoire sous les narines (Épid., IV, 40; Épid. VI, 6, 13) et excitez le malade. Ou bien arrosez des grenades avec de l'eau chaude, broyez de l'alun dans du vin blanc, et faites des affusions sur l'anus; puis mettez des chiffons et attachez les cuisses ensemble pendant trois jours. Le patient sera à la diète et boira un vin doux. Si même ainsi on ne réussit pas, mêlez du miltos (*argile ocreuse*) à du miel et faites les onctions avec ce mélange. Pour la chute du rectum avec hémorrhagie, prenez la racine de l'arum (*arum colocasia*, L.), ôtez-en l'écorce, faites-la bouillir dans l'eau; puis écrasez-la en y mêlant de la farine de blé, et appliquez chaud. Autre : prenez la vigne sauvage nommée par quelques-uns psilothrion (*épilatoire*) (*bryonica cretica*, L.), choisissez-en les racines les plus tendres, râclez-les, faites-les bouillir dans du vin noir et astringent pur; puis écrasez-les et appliquez tiède ce cataplasme; mêlez-y aussi du gruau d'orge, et pétrissez dans un mélange tiède de vin blanc et d'huile. Autre : prenez la graine de cigüe, broyez-la, versez-y du vin blanc ayant du bouquet, et appliquez tiède ce cataplasme. Pour l'inflammation, prenez la racine du lierre, faites-la bouillir dans de l'eau, écrasez-la bien, ajoutez-y le plus beau gruau d'orge, pétrissez le tout dans du vin blanc, et appliquez en cataplasme; on y ajoute aussi un corps gras. Autre : prenez la racine de mandragore, fraîche si vous pouvez, sinon, sèche; la fraîche, vous l'éplucherez, vous la couperez, vous la ferez bouillir dans du vin étendu d'eau, et vous l'appliquerez en cataplasme; la sèche, vous la broyerez, et vous l'appliquerez pareillement. Autre : écrasez bien le dedans du melon et appliquez-le en cataplasme.

10. (*Douleur au rectum sans inflammation.*) S'il y a de la

ἐρυθρὸν, καὶ τρίψας λεῖον, καὶ στυπτηρίην, καὶ [1]ἅλας φώξας, καὶ τρίψας λείους, συμμίξαι ἴσον ἑκάστου· εἶτα πίσσῃ [2]ξυμμίξας ὡς βελτίστῃ, ἐς ῥάκος ἐναλείψας, ἐντιθέναι καὶ καταδεῖν. [3]Ἄλλο· καππάριος φύλλα χλωρὰ τρίψας, ἐς μαρσίπιον ἐμβαλὼν, προσκαταδεῖν· καὶ ἐπὴν καίειν [4]δοκέῃ, ἀφαιρέειν καὶ αὖθις προστιθέναι. Ἢν δὲ μὴ ᾖ φύλλα [5]καππάριος, τὸν φλοιὸν τῆς ῥίζης κόψας, φυρήσας [6]οἴνῳ μέλανι, τὸν αὐτὸν τρόπον καταδεῖν. Τοῦτο καὶ πρὸς [7]σπληνῶν ὀδύνην ἀγαθόν. Τούτων τῶν καταπλασμάτων [8]δύναται τὰ μὲν ψύχοντα κωλύειν ῥεῖν, τὰ δὲ μαλθάσσοντα καὶ θερμαίνοντα διαχεῖν, τὰ δὲ [9]ἐς ἑωυτὰ ἕλκοντα ξηραίνειν καὶ ἰσχναίνειν. Τοῦτο δὲ τὸ [10]νούσημα γίνεται, ὅταν χολὴ καὶ φλέγμα ἐς τοὺς τόπους καταστηρίξῃ. Ἀρχοῦ δὲ φλεγμήναντος, διαχρίειν τῷ φαρμάκῳ, ὅπῃ ἡ ῥητίνη καὶ τὸ ἔλαιον καὶ ὁ κηρὸς καὶ ἡ [11]μολύβδαινα καὶ τὸ στέαρ· ὡς θερμότατα διεῤῥήθησαν καταπλάττεσθαι.

[1] Ἅλες FHI. – Post φώξας addunt τοὺς ἴσους FHIJK. – συμμίξας Z. — [2] ξ. H. – σ. vulg. – βελτίστης GZ. — [3] ἄλλο om. FGKZ. – καπάριος FGHI. – μαρσύπιον J. — [4] δοκέῃς vulg. – δοκέῃ Kühn. — [5] καπάριος FGIZ, Ald. — [6] ἐν οἴνῳ vulg. – ἐν om. DFGHIK. – ἐπιδεῖν DHIJK. — [7] σπληνὸν (sic) I. – σπληνὸς J. — [8] δύναται al. manu H. – δύναται om. vulg. – κωλύειν FGHIJ. – κωλύει vulg. — [9] ἐς (ὡς D) HJ. – εἰς vulg. — [10] νόσημα DHIK. – εἰς J. — [11] μολίβδαινα J. – θερμότατα DHK. – θερμότατον vulg. – διερέθησάν D. – διεῤῥήθησαν est une leçon fautive; mais je ne sais comment la remplacer. Vidus Vidius traduit : quæ calefacta liquentur atque illinantur; Foës a suivi le même sens : ils paraissent avoir fait venir διεῤῥήθησαν de διαῤῥαίνω. Cornarius a mis : commiscentur.

douleur sans inflammation, faites griller du nitre rouge, broyez-le bien avec de l'alun, passez au feu du sel, écrasez-le bien fin, et mêlez chacun de ces ingrédients à dose égale; puis mêlez-y la meilleure poix; enduisez de ce mélange un chiffon qu'on introduira et qu'on maintiendra par un bandage. Autre : prenez les feuilles vertes du caprier, écrasez-les, mettez-les dans un sachet qui sera maintenu contre la partie; quand elles causeront de la cuisson, on les retirera pour les appliquer de nouveau. Si on n'a pas de feuilles de caprier, on prendra l'écorce de la racine, on la hachera, on la pétrira dans du vin noir, et on l'appliquera de la même façon. Ce moyen est bon aussi pour la douleur de la rate. De ces cataplasmes les réfrigérants ont la propriété d'empêcher les flux, les émollients et échauffants de résoudre, et ceux qui attirent à soi, de sécher et d'atténuer. Cette affection du rectum survient quand la bile et le phlegme se fixent en cette région. Dans l'inflammation du rectum, oignez la partie avec le médicament où entrent la résine, l'huile, la cire, la molybdène (*massicot*) et la graisse; on l'appliquera le plus chaud possible.

FIN DU LIVRE DES FISTULES.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

DU REGIME.

ARGUMENT.

Ce traité, qui est réellement composé de quatre livres et non, comme le portent les éditions, de trois (car le traité *Des Songes* en fait partie intégrante), roule sur une idée principale, sur une découverte (ἐξεύρημα) dont l'auteur se félicite et dont il s'attribue pleinement la priorité. Cette découverte, c'est que, la santé dépendant d'un juste rapport entre les aliments et les exercices, il y a des signes précurseurs qui indiquent quand les aliments sont supérieurs aux exercices, ou quand les exercices le sont aux aliments, et qui manifestent à l'homme expérimenté l'imminence de la maladie.

Ceci est l'objet fondamental du traité, lequel se subdivise en quatre livres. Le premier livre expose des généralités sur la composition primordiale des corps vivants, sur les âges, sur les sexes, sur la santé du corps, et sur la santé de l'esprit. Le second s'occupe des propriétés des lieux, des vents, des aliments, des boissons et des exercices. Le troisième énumère les signes qui annoncent la disproportion entre les aliments et les exercices, et l'imminence de la maladie. Le quatrième examine ce que signifient les songes pour la prévision des désordres pathologiques qui se préparent.

Le premier livre (il sera question des autres à fur et mesure) attribue l'origine des corps vivants à une mixture d'eau et de feu. Suivant l'auteur, rien ne meurt et rien ne naît; mais tout est dans un échange perpétuel. Il essaie, par des exemples fort grossièrement choisis, il est vrai, de faire voir que tous les arts que l'homme a imaginés ne sont que des imitations

spontanées des fonctions qui s'exécutent dans le corps vivant. Puis, se servant de cette mixture de feu et d'eau, et, pour augmenter le nombre des combinaisons, attribuant des qualités diverses à ces deux éléments, imaginant un feu humide et une eau sèche, un feu grossier et une eau pure, un feu pur et une eau grossière, etc., il tire de ce jeu puérilement illusoire toutes les diversités des corps et des esprits, des âges et des sexes. Rien n'est plus curieux, à titre d'instruction négative, que de voir comment on peut si complétement se payer de mots et d'explications qui n'expliquent rien. Nos hypothèses actuelles, par exemple le fluide électrique ou le fluide nerveux, nous trompent plus facilement, parce qu'elles sont plus subtiles ou du moins appuyées sur une physique ou une chimie véritablement scientifiques. Au lieu que ces hypothèses anciennes, qui reposent sur des conceptions physiques encore dans l'enfance, se trouvant employées à l'explication des corps vivants, dévoilent aussitôt le vice fondamental de pareils raisonnements. Mais, dans le fond, en quoi diffèrent aux yeux d'une philosophie vraiment positive la mixture hippocratique du feu et de l'eau élémentaires et l'intrusion moderne du fluide nerveux dans l'organisme des animaux?

On remarquera, pour l'histoire littéraire de cette époque reculée, que l'auteur parle de traités sur le régime qui ont précédé le sien, et dont il se propose de suppléer les lacunes. Son préambule, au reste, est modeste et bienveillant, bien qu'il s'y réserve la part qu'il se croit due.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 =

J, 2145=K, Cod. Serv. apud Foes=L, 2332=X, 2148=Z, Cod. Imper. Corn. ap. Mack = K′, Cod. Imper. Samb. ap. Mack = P′, Cod. Fevr. ap. Foes= Q′, Cod. Vindob. n° IV=θ[1].

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Des Maizeux, Explication d'un passage d'Hippocrate dans le livre De la Diète, dans : Histoire de la République des lettres, t. XI, p. 52, et ib., p. 290.—Jo. Matth. Gesner, Ψυχαὶ Ἱπποκράτους, Gott., 1737, in-4°; voy. Suppl. ad Nov. act. Erud., t. III, sect. x, p. 449, et Comm. soc. reg. Gott., t. III.—Dissertation sur l'origine des êtres animés suivant le système d'Hippocrate, par M. Heinsius, dans : Mémoires de l'Acad. roy. des sciences de Berlin, 1745, p. 101.—Sur la diététique d'Hippocrate, par Dierbach, dans : Medicinische Annalen de Puchelt, Chelius et Nægel, t. XI.

Le livre Des Songes a plus occupé la presse.—Andrea Brentio interprete, in-4° sine loco et anno, 15 foliorum, sine titulo, custodibus, signatura et paginarum numeris. Præmissa est Andr. Brentii epistola ad Zachariam Barbarum, Venetorum oratorem, deinde Brentii epistola ad Sixtum (Xystum vocat) pontificem, posteaque fol. 5 liber de Insomniis sequitur. Post hunc librum Brentii epistola ad Ni. Gupalatinum legitur. Descripsit hunc librum probavitque eum anno 1471 et quidem Romæ typis esse expressum M. Denis in : Merkwürdigkeiten d. K. K. Garellischen Bibl. nr. 114, p. 207, 208.—Latine, editionem anni 1479 citat Spachius in Elench. medic., p. 82.—Apud Symphorianum Campegium, sæc. xv, ut videtur, vergente.—In : Rhazis et aliorum opusculorum Collectio Veneta, et quidem ex A. Brentii versione, cum epistolis Brentii, 1497, in-fol.—In Articella, vertente Fabio Calvo cum aliis, 1527, in-12.—Cum Jul. Cæs. Scaligeri versioneet commentarioatque Aristotelis libellis de somno, vigilia, insomniiset divinatione. Lugd., 1538, in-4°. Rast., Lugd.[2]: 1549, in-12, Mus. Brit.; Genev., 1561, in-fol. ad calcem ejusdem librorum VII poetices; Giess., 1610, in-8°; Amstel., 1658, in-12;

[1] J'ai fait faire cette collation pour contrôler celle de Mack; voyez la note de la p. 139.

[2] Voici l'édition que j'ai sous les yeux : Hippocratis liber de somniis cum Julii Cæsaris Scaligeri commentariis, Lugd. ap. Seb. Gryphium, 1539, in-4°. Le livre d'Aristote n'y est pas joint.

auctus et recognitus idem liber sine loco et anno, Gunz.—Justo Velsio interprete, Antv., 1541, in-8°.—Græce et latine, cura Justi Velsii, Basil., 1543, in-4°.—Aug. Ferrerii liber de Somniis, Hippocratis de Insomniis, Galeni de Insomniis, Synesii de Somniis, Lugd., 1549, in-12.—Dans la collection de Morellus, 1557; voy. t. II, p. 105.—Ἱπποκράτους περὶ Ἐνυπνίων. Hippocratis libellus de Insomniis. Huic accesserunt ὀνειροκριτικὰ multo quam antea castigatiora et auctiora, Lutetiæ ap. Fed. Morellum, 1586, in-12.—J. Colle, De cognitu difficilibus in praxi ex libro Hippocratis de Insomniis, Venet., 1628, in-4°.

N. B. Un manuscrit latin fort ancien dont j'ai donné la description t. I, p. 385, contient un fragment du premier livre du traité Περὶ διαίτης. J'en ai rapporté quelques leçons; je le désigne de cette façon : Cod. Lat.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΠΡΩΤΟΝ.

1. Εἰ μὲν [1]μοί τις ἐδόκεε τῶν πρότερον ξυγγραψάντων περὶ διαίτης ἀνθρωπίνης τῆς πρὸς [2]ὑγείαν ὀρθῶς ἐγνωκὼς ξυγγεγραφέναι πάντα διὰ παντὸς, ὁκόσα δυνατὸν ἀνθρωπίνῃ γνώμῃ περιληφθῆναι, ἱκανῶς ἂν εἶχέ μοι, ἄλλων ἐκπονησάντων, [3]γνόντα τὰ ὀρθῶς ἔχοντα, τούτοισι χρέεσθαι, καθότι ἕκαστον αὐτῶν ἐδόκεε χρήσιμον εἶναι. Νῦν δὲ πολλοὶ μὲν ἤδη [4]ξυνέγραψαν, οὐδεὶς δέ πω ἔγνω ὀρθῶς καθότι [5]ἦν αὐτοῖς ξυγγραπτέον· ἄλλοι δὲ [6]ἄλλο ἐπέτυχον· τὸ δὲ ὅλον οὐδείς πω τῶν πρότερον. Μεμφθῆναι μὲν [7]οὖν οὐδενὶ αὐτῶν ἄξιόν ἐστιν, εἰ μὴ ἐδυνήθησαν ἐξευρεῖν, ἐπαινέσαι δὲ μᾶλλον πάντας [8]ὅτι ἐπεχείρησαν ζητῆσαι. Ἐλέγχειν μὲν οὖν τὰ μὴ ὀρθῶς εἰρημένα οὐ παρεσκεύασμαι· προσομολογέειν δὲ [9]τοῖσι καλῶς ἐγνωσμένοισι διανενόημαι· ὁκόσα μὲν γὰρ ὀρθῶς ὑπὸ τῶν πρότερον εἴρηται, [10]οὐχ οἷόν τε ἄλλως κως ἐμὲ ξυγγράψαντα ὀρθῶς [11]ξυγγράψαι· ὁκόσα δὲ μὴ ὀρθῶς εἰρήκασιν, ἐλέγχων μὲν ταῦτα, διότι οὐχ οὕτως ἔχει, [12]οὐδὲν περανῶ· ἐξηγεύμενος δὲ καθότι μοι δοκέει ἕκαστον ὀρθῶς ἔχειν, [13]δηλώσω ὃ βούλομαι. Διὰ τοῦτο δὲ τὸν λόγον τοῦτον προκατατίθεμαι, [14]ὅτι πολλοὶ τῶν ἀνθρώπων ὁκόταν τινὸς προτέρου ἀκούσωσι περί τινος ἐξηγευμένου, οὐκ ἀποδέχονται [15]τὸν ὕστερον περὶ τούτων διαλεγόμενον, οὐ γι-

[1] Μοί om., restit. al. manu E. – συνγρ. EHIJKθ. — [2] ὑγιείαν θ. – ὑγίην Zwing., Mack. – συνγεγρ. θ. – ὅσα θ. – εἰκανῶς (sic) θ. – εἶχεν ἄν μοι EGHθ. — [3] γνόντα (H, al. manu γνῶναι) θ. – γνῶναι vulg. – τὰ θ. – τὰ om. vulg. – καὶ τούτοισι Zwing. in marg., exempl. quædam ap. Foes in not., Lind., Mack. — [4] σ. EHIJKθ. – δὲ πω θ. – δὲ sine πω vulg. — [5] ἦν θ, Mack. – ἦν, al. manu ἂν H. – ἂν vulg. – συγγρ. EHIJK. – συνγρ. θ. — [6] ἄλλου E. — [7] οὖν om. K. – οὐδενὶ οὖν E. – μᾶλλον om. (H, restit. al. manu) θ. — [8] ὅτι ἄλλ' (ἄλλ' om. E, H obliteratum, P', Mack; ἀλλ' θ) ἐπεχειρίσαντο (ἐπεχειρήσαντο E, H al. manu ἐπεχείρησαν, JK; ἐπεχείρησαν θ) (post ἐπ. addit γοῦν θ) ζητῆσαι vulg. – παρασκεύασμαι (sic) I. – προσομολογεῖν θ. — [9] τοῖς ἱκανῶς (ἱκανοῖς I) vulg. – τοῖς καλῶς θ. – ἐγνωσμένοις EHKθ. – ὅσα θ. – μὲν οὖν vulg. – μὲν γὰρ θ, Mack. — [10] οὐχοιονται (sic) θ. – ὅκως vulg. – κως Zwing. in marg., Lind. – πως θ. – ὅπως, al. manu ὅκως H. – συνγρ. θ. – συγγρ. vulg. – ξυγγρ. Ald. — [11] ξ. IJ. – συγγ. vulg. – συνγ. θ. – συγγράψω K'. – ὅσα θ. — [12] Post οὐδὲν addit γὰρ H. – οὐδέν

DU RÉGIME.

LIVRE PREMIER.

1. (*Préambule.*) Si, parmi ceux qui ont écrit sur le régime à suivre pour la santé, quelqu'un me paraissait, prenant la droite voie, avoir traité de tout complétement autant que le peut concevoir l'entendement humain, il me suffirait, profitant du travail d'autrui, de reconnaître ce qui est bien et de m'en servir suivant l'utilité apparente de chaque chose. Mais, si beaucoup se sont occupés de ce sujet, aucun n'a su exactement quel devait être l'objet de son travail; les uns ont traité une partie, les autres une autre; l'ensemble, aucun des devanciers ne l'a embrassé. Certes il ne faut blâmer aucun d'eux de n'avoir pu faire la découverte; il faut plutôt les louer tous d'avoir entrepris la recherche. Ainsi je ne me prépare pas à relever ce qui n'a pas été bien dit; mais je suis disposé à m'associer à ce qui a été judicieusement reconnu. Les choses bien dites par les devanciers, il n'est pas possible, si je veux en écrire autrement, que j'en écrive bien. Quant aux choses mal dites, si je les refute montrant qu'il n'en est pas ainsi, je n'aurai rien obtenu. Mais si j'explique en quoi chaque chose me paraît bonne, j'aurai démontré ce que je veux démontrer. Je me sers de ce préambule, vu que beaucoup, s'ils ont entendu une explication antérieure sur un objet, ne veulent plus entendre sur le même objet une explication postérieure, ne

περ ἄνω θ. – ἐξηγεύμενος θ. – ἐξηγούμενος vulg. – καθότι αὐτῶν μοι vulg. – δοκεῖ μοι ὀρθῶς ἔχειν ἕκαστον, sine αὐτῶν, θ. – δοκέει EHIJK. – δοκέῃ vulg. — [13] δηλῶσαι βούλομαι vulg. – δηλώσω ὃ βούλομαι θ. – Assero quod volo Cod. Lat. – Ce qui est la vraie leçon. – δὲ om., restit. al. manu E. — [14] διότι J. — [15] τῶν ὕστ. διαλεγομένων π. τούτων EHθ. – τὸν ὕστ. διαλεγόμενον π. τούτων K. – τῶν ὕστ. π. τούτων διαλεγομένων Zwing. in marg., exempl. quædam ap. Foes in not. – τουτέων Mack. – διανοίας vulg. – διανοίης EHK. – ἐστὶ διανοίης θ. – γνῶναί τε τὰ J.

νώσκοντες ὅτι τῆς αὐτῆς διανοίης ἐστὶ γνῶναι τὰ ὀρθῶς εἰρημένα, [1]ἐξευρεῖν τε τὰ μή πω εἰρημένα. Ἐγὼ γοῦν, ὥσπερ εἶπον, τοῖσι μὲν ὀρθῶς εἰρημένοισι προσομολογήσω· τὰ δὲ μὴ ὀρθῶς [2]ἐγνωσμένα δηλώσω ὁκοῖά τινά ἐστιν· ὁκόσα δὲ μηδὲ ἐπεχείρησε μηδεὶς τῶν πρότερον δηλῶσαι, ἐγὼ ἐπιδείξω καὶ ταῦτα ὁκοῖα ἐστί.

2. Φημὶ [3]δὲ δεῖν τὸν μέλλοντα ὀρθῶς ξυγγράφειν περὶ διαίτης ἀνθρωπίνης πρῶτον μὲν παντὸς φύσιν ἀνθρώπου γνῶναι [4]καὶ διαγνῶναι· γνῶναι μὲν ἀπὸ τίνων συνέστηκεν ἐξ ἀρχῆς, διαγνῶναι δὲ ὑπὸ τίνων [5]μερῶν κεκράτηται· εἴ τε γὰρ τὴν ἐξ ἀρχῆς σύστασιν μὴ γνώσεται, ἀδύνατος ἔσται τὰ ὑπ' ἐκείνων γιγνόμενα γνῶναι· εἴ τε μὴ γνώσεται τὸ ἐπικρατέον ἐν τῷ σώματι, οὐχ ἱκανὸς ἔσται τὰ ξυμφέροντα τῷ ἀνθρώπῳ προσενεγκεῖν. Ταῦτα μὲν οὖν [6]χρὴ γινώσκειν τὸν ξυγγράφοντα, μετὰ δὲ ταῦτα σίτων καὶ ποτῶν ἁπάντων, οἷσι διαιτώμεθα, δύναμιν ἥντινα ἕκαστα ἔχει καὶ τὴν κατὰ φύσιν καὶ [7]τὴν δι' ἀνάγκην καὶ τέχνην ἀνθρωπηΐην. Δεῖ γὰρ ἐπίστασθαι τῶν τε ἰσχυρῶν φύσει ὡς χρὴ τὴν δύναμιν ἀφαιρέεσθαι, τοῖσι [8]δὲ ἀσθενέσιν ὅκως χρὴ ἰσχὺν προστιθέναι διὰ τέχνης, ὅκου [9]ἂν ὁ καιρὸς ἑκάστων παραγένηται. Γνοῦσι δὲ τὰ εἰρημένα οὔκω αὐτάρκης ἡ θεραπείη τοῦ ἀνθρώπου, διότι οὐ δύναται ἐσθίων [10]ὥνθρωπος ὑγιαίνειν, ἢν μὴ καὶ πονέῃ. Ὑπεναντίας μὲν γὰρ ἀλλήλοισιν ἔχει τὰς δυνάμιας

[1] Ἐξευρεῖν τε τὰ μή πω εἰρημένα θ (Mack, apud quem male legitur καὶ ἐξεύρειν τε). – ἐξευρεῖν τε τὰ μή πω εἰρ. om. vulg. – Pro ἐξευρεῖν.... εἰρημένα habent τὰ μὴ ὀρθῶς al. manu J ; καὶ μὴ ὀρθῶς εἰρημένα δηλῶσαι Lind. – Et illa quæ minus potuerant ab aliis deprehendi invenire Cod. Lat. – οὖν EHK θ. — [2] Ante ἐγν. addunt εἰρημένα καὶ EP'Q'. – εἰρημένα pro ἐγν. θ. – ποῖα pro ὁκοῖά τινά θ. – μηδ' θ. – οἷα pro ὁκοῖα θ. — [3] μὴ pro δὲ θ. – δεῖ pro δεῖν J. – συγγρ. EHIJK. – συνγρ. θ. – ἀνθρωπίης θ. — [4] τε καὶ al. manu J. – γνῶναι om. K. – ξυνέστ. Lind. — [5] μερσῶν (sic) θ. – κέκρηται Zwing. in marg., Lind. – Il faut garder κεκράτηται, comme le montre τὸ ἐπικρατέον qui suit. – εἰ μὴ (ἢ τὲ pro εἰ μὴ I) γὰρ τὴν ἐξ ἀρχῆς σύστασιν (ξ. Lind.) ἐπιγνώσεται, (hic addunt καὶ J, Zwing. in marg., Foes in not., Mack) τὸ ἐπικρατέον ἐν τῷ σώματι οὐχ οἷός τε εἴη (ἱκανὸς ἔσται EHKQ') (ἂν εἴη Zwing. in marg., Lind.) τὰ ξυμφέροντα (συμφ. EHK) τῷ ἀνθρώπῳ προσενεγκεῖν (προσενεγκεῖν τῶ ἀνθρώπω EHK) vulg. – εἴ τε γὰρ τὴν ἐξ ἀρχῆς σύστασιν μὴ γνώσεται, ἀδύνατος ἔσται τὰ ὑπ' ἐκείνων γιγνόμενα γνῶναι· εἴ τε μὴ γνώσεται τὸ ἐπικρατέον ἐν τῶ σώματι, οὐχ ἱκανὸς ἔσται τὰ συμφέροντα προσενεγκεῖν τῶ ἀνθρώπω θ. – Si enim statum hujus non agnoverit, quomodo poterit scire et illa quæ ei accidunt; et si nesciat quod dominatur in corpore, quomodo poterit offerre homini quod illi sit conducibile Cod. Lat. – Les deux leçons

sachant pas que l'intelligence est la même à connaître ce qui est bien dit et à découvrir ce qui n'a pas encore été dit. Ainsi donc, comme je l'ai annoncé, je m'associerai aux bonnes choses; je montrerai, pour les mauvaises, ce qu'il en est; et, pour celles que nul des devanciers n'a essayé d'exposer, je ferai voir ce qu'il en est aussi.

2. (*Pour faire un bon traité sur le regime, il faut embrasser toute la nature humaine : connaissance des aliments ; connaissance des exercices ; connaissance du rapport des uns avec les autres. L'auteur se vante d'avoir le premier mis en lumière les signes qui montrent que ce rapport est rompu.*) Je dis que celui qui veut faire un bon traité sur le régime de l'homme doit d'abord connaître et reconnaître toute la nature humaine : connaître de quoi elle est composée à l'origine; reconnaître par quelles parties elle est surmontée. En effet, s'il ne connaît la composition de l'origine, il ne pourra discerner ce que produisent ces éléments primitifs; et, s'il ne reconnaît pas ce qui l'emporte dans le corps, il ne sera pas en état d'administrer les choses utiles. L'écrivain doit donc avoir cette connaissance, puis celle de tous les aliments et de toutes les boissons qui constituent notre régime, quant à leur propriété spéciale tant naturelle qu'acquise par l'effort et l'art de l'homme. Il importe de savoir comment on diminue la force des substances naturellement fortes, comment l'art donne de la force aux substances faibles, suivant chaque opportunité. Mais, avec les connaissances sus-dites, le traitement du corps humain n'est pas encore suffisant, vu que l'homme, mangeant, ne peut se bien

se confirment, et la lacune de vulg. doit être remplie.—[6] δεῖ EHKθ.-συγγρ. EGIJKθ.-ἔχουσι sine ἕκαστα θ.-Post κατὰ addit τὴν Ald.—[7] τὴν om. E.-ἀνθρωπίνην Kθ.-τό τε ἰσχυρὸν, al. manu τῶν τε ἰσχυρῶν H.—[8] τε pro δὲ EKθ.-τὴν ἰσχὺν K.—[9] ἣν (H, al. manu ἂν), Ald.-ἣν θ.-ὁ om. Ald. -ἑκάστω θ.-γνόντας vulg.-γνῶντας K.-γνόντι Zwing. in marg., Lind., Mack.-γνοῦσι θ.-οὔπως θ.-οὔπω EHK.-αὐταρκήσῃ θ.-Ceci doit se lire αὐτάρκης ᾖ.—[10] ὤνθρωπος E.-ὁ ἄνθρωπος θ, Mack.-ἄνθρωπυς vulg.-πονέει GI, Ald.-ἀπεναντίας EGJP'.-ἀλλήλῃσι Kθ.-δυνάμειας θ.-δυνάμεις vulg.-πόνοισι GJ.

σιτα καὶ πόνοι, [1]ξυμφέρονται δὲ ἀλλήλοισι πρὸς ὑγείην· πόνοι μὲν γὰρ πεφύκασιν [2]ἀναλῶσαι τὰ ὑπάρχοντα· σιτία δὲ καὶ ποτὰ ἐκπληρῶσαι τὰ κενωθέντα. Δεῖ δὲ, ὡς ἔοικε, τῶν πόνων διαγινώσκειν τὴν δύναμιν καὶ τῶν κατὰ φύσιν καὶ τῶν διὰ [3]βίης γινομένων, καὶ τίνες αὐτῶν ἐς αὔξησιν παρασκευάζουσι σάρκας καὶ τίνες [4]ἐς ἔλλειψιν, καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰς ξυμμετρίας τῶν [5]πόνων πρὸς τὸ πλῆθος τῶν σιτίων καὶ τὴν φύσιν τοῦ ἀνθρώπου καὶ τὰς ἡλικίας τῶν σωμάτων, [6]καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ καὶ πρὸς τὰς μεταβολὰς τῶν πνευμάτων, [7]καὶ πρὸς τὰς θέσεις τῶν χωρίων ἐν οἷσι διαιτέονται, πρός τε τὴν κατάστασιν τοῦ ἐνιαυτοῦ. Ἄστρων τε ἐπιτολὰς καὶ δύσιας γινώσκειν δεῖ, ὅκως ἐπίστηται τὰς μεταβολὰς [8]καὶ ὑπερβολὰς φυλάσσειν καὶ σίτων καὶ ποτῶν καὶ πνευμάτων καὶ τοῦ ὅλου κόσμου, ἐξ ὧν περ αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι φύονται. Ταῦτα δὲ [9]πάντα διαγνόντι οὔκω αὔταρκες τὸ εὕρημά ἐστιν· εἰ μὲν γὰρ ἦν εὑρετὸν ἐπὶ τούτοισι πρὸς ἑκάστην φύσιν σίτου μέτρον καὶ πόνων [10]ἀριθμὸς σύμμετρος μὴ ἔχων ὑπερβολὴν μήτε ἐπὶ τὸ πλέον [11]μήτε ἐπὶ τὸ ἔλασσον, εὕρητο ἂν ἡ ὑγείη τοῖσιν ἀνθρώποισιν ἀκριβῶς. Νῦν δὲ τὰ μὲν προειρημένα πάντα εὕρηται, ὁκοῖά ἐστι, τοῦτο δὲ ἀδύνατον εὑρεῖν. Εἰ μὲν οὖν παρείη τις καὶ δρῴη, [12]γινώσκοι ἂν τὸν ἄνθρωπον ἐκδύνοντά τε καὶ ἐν τοῖσι γυμνασίοισι γυμναζόμενον, ὥστε φυλάσσειν ὑγιαίνοντα, τῶν μὲν ἀφαιρέων, τοῖσι δὲ προστιθείς· μὴ παρεόντι δὲ ἀδύνατον [13]ὑποθέσθαι ἐς ἀκριβείην σῖτα καὶ πόνους· ἐπεὶ ὁκόσον γε δυνατὸν εὑρεῖν [14]ἐμοὶ ἤδη εἴρηται. Ἀλλὰ γὰρ εἰ καὶ πάνυ σμικρὸν ἐνδεέ-

[1] Συμφέροντα θ. – ξυμφέρεται GIJ. – δὲ om., restit. al. manu H. – πρὸς ἄλληλα pro ἀλλήλοισι EFGIJKθ, Ald., Zwing. in marg. – ξυμφέρονται δέ πως ἄλληλα πρὸς ὑγείην exempl. quædam ap. Foes in not. – ξυμφέρονται δέ πως ἄλληλα ἀλλήλοισι πρὸς ὑγείην Lind. – ὑγιείην Eθ. — [2] ἀλῶσαι, al. manu ἀναλῶσαι H. – σίτα θ. – πληρῶσαι FGIJ. — [3] βίην E. – αὐτῶν αὔξησι (sic) παρασκευάζουσιν ἐς σάρκας καὶ τίνες ἔλλειψι θ. — [4] εἰς J. – ἐς om. HK. – ξυμμ. G, Ald., Lind. – συμμ. vulg. – Post ξ. addunt τὰς ἡμετέρας (ὑμετέρας, al. manu ἡ H) (τά τε μέτρα pro τὰς ἡμ. Zwing. in marg., Lind., Mack) vulg. – τὰς ἡμετέρας om. θ. — [5] Post π. addit τὴν βίην (βίαν FGJ) vulg. – τὴν βίην om. (E, restit. al. manu) Kθ, Ald., Lind., Mack. – σίτων θ. — [6] καὶ om. FGJ. — [7] καὶ EP'Q', Zwing., Lind., Mack. – καὶ om. vulg. – πρός τε sine καὶ θ. – χωρέων Zwing. in marg. – οἷσι HJKθ, Mack. – ᾗσι vulg. — [8] καὶ ὑπ. om., restit. al. manu H. – πόνων pro ποτῶν Zwing. in marg., exempl. quædam ap. Foes in not. – πόνων pro πνευμάτων exempl. quædam ap. Foes in not. – τοῖσιν ἀνθρ. αἱ νοῦσοι EHKθ. – εἰσι (al. manu φύονται H) θ. — [9] πάντα om. θ. – διαγνῶντι G, Ald., Frob. – οὔπω GIKθ. – οὕτως J. – εὕρεμα θ. – εἰ θ. – ἦν

porter, s'il ne fait aussi de l'exercice. Les aliments et les exercices ont des vertus opposées, qui cependant concourent à l'entretien de la santé : les exercices dépensent, les aliments et les boissons réparent. On voit donc qu'il faut connaître la vertu des exercices tant naturels que forcés, quels disposent les chairs à l'accroissement, quels à l'atténuation ; et non-seulement cela, mais encore la proportion des exercices par rapport à la quantité des aliments, à la nature de l'individu, à l'âge, aux saisons, au changement des vents, à la situation des lieux où l'on vit et à la constitution de l'année. On observera le lever et le coucher des constellations afin de savoir se garder contre les mutations et les conditions excessives des aliments, des boissons, des vents et du monde entier, conditions qui engendrent les maladies. Tout cela étant connu, la découverte n'est pas encore complète : si, en effet, il était possible de trouver en outre, pour chaque nature individuelle, une mesure d'aliments et une proportion d'exercice sans excès ni en plus ni en moins, on aurait un moyen exact d'entretenir la santé. Or, tout ce qui a été dit plus haut est découvert ; mais, ce dernier point, il n'est pas possible d'y atteindre. Sans doute, présent et voyant, on connaîtrait assez l'homme qui se dépouille de ses vêtements et qui s'exerce dans les gymnases, pour le garder en santé, ôtant d'un côté, ajoutant de l'autre. Au lieu que, si l'on n'est pas présent, on ne pourra prescrire avec exactitude les aliments et les exercices, puisque j'ai déjà dit jusqu'où il était possible d'aller dans cette con-

vulg. -τούτοισι θ, Mack. -τούτοις vulg. -τούτους GIK. —[10] ἀριθμὸν EFGHIJ, Ald. -σύμμετρος θ. -σύμμ. om. vulg. -Laboris numerus competens qui nullam haberet nimietatem Cod. Lat. -ἔχων Kθ, Zwing., Mack. -ἔχον vulg. -πλεῖον θ. —[11] μήτε ἐπὶ τὸ om., restit. al. manu H. -εὕρητο HIKθ. -εὕροιτο vulg. -ἢ om. vulg. -J'ai ajouté ἢ sans mss., l'iotacisme l'ayant fait disparaître devant l'υ qui suit. -ὑγιείη θ. -ὑγείην GIJ. -μὲν om. (H, restit. al. manu) Jθ. -τὰ προειρημένα μὲν E. -ὁκοῖα θ, Mack. -ὁκοῖον vulg. —[12] γιγνώσκοι θ. -γινώσκει Ald. -τε om. θ. -ἐν τ γ. γυμ.. ὥστε om. θ. -διαφυλάσσειν θ. -τὰ μὲν Lind. —[13] ὑποτίθεσθαι Lind. -ὑποθέσθαι.... δυνατὸν om. θ. -σίτα GHK. -μοι pro γε FGJ. -εὐδέειν Mack. —[14] Ante ἐμοὶ addit ἃ θ. -ἤδη om. EKθ. -καὶ om. θ. -μικρὸν HKθ.

στερα τῶν ἑτέρων [1] γίνοιτο, ἐν πολλῷ χρόνῳ ἀνάγκη κρατηθῆναι τὸ σῶμα ὑπὸ τῆς ὑπερβολῆς καὶ ἐς νοῦσον ἀφικέσθαι. Τοῖσι μὲν οὖν ἄλλοισι μέχρι τούτου ἐπικεχείρηται ζητηθῆναι· εἴρηται δὲ οὐδὲ ταῦτα· ἐμοὶ δὲ ταῦτα ἐξεύρηται, [2] καὶ πρὸ τοῦ κάμνειν τὸν ἄνθρωπον ἀπὸ τῆς ὑπερβολῆς, ἐφ' ὁκότερον ἂν γένηται, προδιάγνωσις. Οὐ γὰρ εὐθέως αἱ νοῦσοι τοῖσιν ἀνθρώποισιν ἐπιγίνονται, ἀλλὰ κατὰ μικρὸν [3] συλλεγόμεναι ἀθρόως ἐκφαίνονται. Πρὶν οὖν κρατέεσθαι ἐν τῷ ἀνθρώπῳ [4] τὸ ὑγιὲς ὑπὸ τοῦ νοσεροῦ, ἃ πάσχουσιν ἐξεύρηταί μοι, καὶ ὅκως χρὴ ταῦτα καθιστάναι ἐς τὴν ὑγείην. Τούτου δὲ [5] προσγενομένου πρὸς τοῖσι γεγραμμένοισι, τελέεται τὸ ἐπιχείρημα τῶν διανοημάτων.

3. [6] Ξυνίσταται μὲν οὖν τὰ ζῶα τά τε ἄλλα πάντα καὶ ὁ ἄνθρωπος ἀπὸ δυοῖν, διαφόροιν μὲν τὴν δύναμιν, [7] συμφόροιν δὲ τὴν χρῆσιν, πυρὸς λέγω καὶ ὕδατος. Ταῦτα δὲ [8] ξυναμφότερα αὐτάρκεά ἐστι τοῖσί τε ἄλλοισι πᾶσι καὶ ἀλλήλοισιν, ἑκάτερον δὲ χωρὶς οὔτε [9] αὐτὸ ἑωυτῷ οὔτε ἄλλῳ οὐδενί. Τὴν μὲν οὖν δύναμιν αὐτῶν [10] ἑκάτερον ἔχει τοιήνδε· τὸ μὲν γὰρ πῦρ δύναται πάντα διὰ παντὸς κινῆσαι, τὸ δὲ ὕδωρ πάντα διὰ παντὸς θρέψαι· ἐν μέρει δὲ [11] ἑκάτερον κρατέει καὶ κρατέεται ἐς τὸ μήκιστον καὶ [12] τὸ ἐλάχιστον ὡς ἀνυστόν. Οὐδέτερον γὰρ κρατῆσαι παντελῶς δύναται διὰ [13] τόδε· τὸ μὲν πῦρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ ὕδατος, ἐπιλείπει ἡ τροφὴ, ἀποτρέπεται οὖν ὁκόθεν μέλλει τρέφεσθαι· [14] τὸ δὲ ὕδωρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ πυρὸς, ἐπιλείπει ἡ κίνησις, ἵσταται οὖν ἐν τούτῳ, ὁκόταν δὲ στῇ, οὐκ ἔτι

[1] Γίγν. Εθ. – Post γ. addit ἂν vulg. – ἂν om. θ. — [2] καὶ θ, Mack. – καὶ om. vulg. – ἢν (ἢν om. θ) vulg. – ἂν pro ἢν K', Lind., Mack. – γίγνηται EHIJK. – γίνεται θ. – προδιαγνώσεις θ. – D'après Mack τοῖσιν ἀνθρώποισι manque dans θ; au contraire ma collation l'indique comme existant. – ἐπιγίνονται EHP' Q'. – προσγίνονται vulg. – γίνονται θ. — [3] συνλεγόμενα θ. – Mack dit que θ a συλλεγόμεναι. – συλλεγόμενα (ξ. Lind.) vulg. – συλλεγόμεναι EHGK. – ἀθρόον θ. — [4] τῶ θ. – καθιστᾶναι θ. – καθεστάναι E. – ὑγιείην θ. — [5] προσγεγενημένου GI, Ald. – γεγραμμένοισι EFGIJKθ, Ald., Frob., Zwing., Mack. – γεγυμνασμένοισι vulg. – Et scripturæ finem accipit omnis adinventio cogitationum Cod. Lat. – τελευτὰ (sic) θ. – διανθημάτων (sic) θ. — [6] σ. EHIJKθ. – πάντα om. θ. – διαφόροιν (H, al. manu διαφόροις), Mack ex Æmilio Porto. – διαφόροις vulg. – διαφόρων θ. – Mack dit que θ a διαφόροιν. — [7] σύμφόροιν θ, Mack. – συμφόροις vulg. – λέγω om. (H, restit. al. manu) θ. — [8] συν. θ. – ἄλλοις K. — [9] αὐτῶ EGHJ, Ald., Frob. (Zwing., αὐτὸ in marg.). — [10] ἔχει ἑκάτερον EHKθ. – οὖν pro γὰρ θ. – κεινῆσαι θ. — [11] ἑκ. om. J. – ἐς τε τὸ Lind. —

naissance. Or, quand même il n'y aurait qu'une petite disproportion entre les uns et les autres, nécessairement, au bout d'un long temps, le corps serait surmonté par l'excès et arriverait à la maladie. Tel est le point auquel les autres se sont arrêtés et qu'ils n'ont pas même touché. Mais, moi, je l'ai touché, et j'ai découvert le moyen de reconnaître l'imminence de la maladie que prépare un excès en un sens ou en l'autre. Les maladies, en effet, n'éclatent pas soudainement; mais, s'amassant peu à peu, elles se montrent pleines d'intensité. Avant donc que, dans le corps, la santé soit vaincue par la maladie, il est des accidents qu'on éprouve, que j'ai reconnus et qu'il y a moyen de faire disparaître. Avec cette addition à ce qui a été écrit, la tâche que je me suis proposée sera accomplie.

3. (*Tous les animaux sont composés de feu et d'eau.*) Tous les animaux et l'homme lui-même sont composés de deux substances divergentes pour les propriétés, mais convergentes pour l'usage, le feu, dis-je, et l'eau. Ces deux réunies se suffisent à elles-mêmes et à tout le reste; mais l'une sans l'autre ni ne se suffit à soi ni ne suffit à rien autre. Voici la propriété de chacune : le feu peut toujours tout mouvoir, l'eau toujours tout nourrir. Chacune, tour à tour, surmonte et est surmontée à chaque extrémité, en deçà et au-delà, qu'il lui est donné d'atteindre. Aucune ne peut triompher complétement, pour cette raison : le feu arrivant à l'extrémité de l'eau, l'aliment lui manque, et en conséquence il se retourne vers le point qui doit lui fournir l'aliment; l'eau arrivant à l'extrémité du feu, le mouvement lui fait défaut, elle s'arrête donc à ce point; et, quand elle s'arrête, elle n'a plus la puissance, mais elle est déjà consumée pour alimenter le feu qui survient. Aussi, par cette raison, ni l'une ni l'autre ne peut prévaloir

[12] τὸ om. EKθ. — [13] τάδε θ. — μὲν om. θ. — ἔμπροσθεν E (H, eadem manu ἔσχατον) P'Q'. — ἐπίπροσθεν pro ἐσχ. L. — ἡ τροφὴ J, Zwing. in marg., Lind., Mack. — τῇ τροφῇ vulg. — ὅθεν θ. — [14] τὸ ὕδωρ τε ἐπεξ. τοῦ πυρὸς ἐπὶ τὸ ἔσχατον θ.

ἐγκρατέςἐστιν, [1] ἀλλ' ἤδη τῷ ἐμπίπτοντι πυρὶ ἐς τὴν τροφὴν καταναλίσκεται. Οὐδέτερον δὲ διὰ ταῦτα δύναται κρατῆσαι παντελῶς· εἰ δέ [2] κοτε κρατηθείη καὶ ὁκότερον πρότερον, οὐδὲν ἂν εἴη τῶν νῦν ἐόντων ὥσπερ ἔχει νῦν· οὕτω δὲ ἐχόντων αἰεὶ [3] ἔσται τὰ αὐτὰ, καὶ οὐδέτερα καὶ οὐδὲ ἅμα ἐπιλείψει. Τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ, ὥσπερ εἴρηταί μοι, αὐτάρκεά ἐστι πᾶσι διὰ παντὸς ἐς τὸ μήκιστον καὶ τοὐλάχιστον ὡσαύτως.

4. Τούτων δὲ προσκέεται ἑκατέρῳ τάδε· τῷ μὲν πυρὶ [4] τὸ θερμὸν καὶ [5] τὸ ξηρὸν, τῷ δὲ ὕδατι τὸ ψυχρὸν καὶ [6] τὸ ὑγρόν· ἔχει δὲ ἀπ' ἀλλήλων τὸ μὲν πῦρ ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν· ἔνι γὰρ [7] ἐν πυρὶ ὑγρότης· τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν· ἔνι γὰρ [8] ἐν ὕδατι ξηρόν. Οὕτω δὲ τούτων ἐχόντων, [9] πουλλὰς καὶ παντοδαπὰς ἰδέας ἀποκρίνονται ἀπ' ἀλλήλων καὶ σπερμάτων καὶ ζώων, οὐδὲν ὁμοίων ἀλλήλοισιν οὔτε τὴν ὄψιν οὔτε τὴν δύναμιν· ἅτε γὰρ οὔποτε κατὰ [10] τωὐτὸ ἱστάμενα, ἀλλ' αἰεὶ ἀλλοιούμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ, ἀνόμοια ἐξ ἀνάγκης [11] γίνεται καὶ τὰ ἀπὸ τούτων ἀποκρινόμενα. Ἀπόλλυται μὲν οὖν οὐδὲν ἁπάντων χρημάτων, οὐδὲ γίνεται ὅ τι μὴ καὶ πρόσθεν ἦν· [12] ξυμμισγόμενα δὲ καὶ διακρινόμενα ἀλλοιοῦται· νομίζεται δὲ [13] παρὰ τῶν ἀνθρώπων τὸ μὲν ἐξ Ἅιδου ἐς φάος αὐξηθὲν γενέσθαι, [14] τὸ δὲ ἐκ τοῦ φάεος ἐς Ἅιδην μειωθὲν ἀπολέσθαι· [15] ὀφθαλμοῖσι γὰρ πιστεύουσι μᾶλλον ἢ γνώμῃ, οὐχ ἱκανοῖς ἐοῦσιν οὐδὲ περὶ τῶν ὁρεομένων κρῖναι·

[1] Ἀλλ' ἤδη θ, Mack. – ἀλλὰ δὴ vulg. – καταναλίσκεται ἐς τὴν τρ. E. – διὰ om. θ. – Ante δύναται addunt οὐ FGIJ. — [2] ποτε EGHIJKθ. – ὁπότερον θ. – πρότερον θ. – πρ. om. vulg. — [3] ἔστε E. – καὶ οὐδέτερα om. Kühn. – οὐδαμᾶ θ. – οὐδ' ἅμα EH. – εἴρηται Eθ, Lind., Mack. – εἰρέεται vulg. – εἰρέαται GHIJK. – τὸ ἐλάχιστον θ. – πρόσκειται θ. — [4] τὸ θερ. om. K. – τὸ om. J. — [5] τὸ om. J. — [6] τὸ om. θ. – δ' θ. — [7] ἐν πυρὶ θ. – ἀπὸ τοῦ ὕδατος pro ἐν πυρὶ vulg. — [8] καὶ ἐν θ. – Post ὕδ. addit ἀπὸ τοῦ πυρὸς vulg. – ἀπὸ τ. π. om. EFGHKJθ, Ald. — [9] Ante π. addunt εἰς Zwing. in marg., exempl. ap. Foes in notis, Lind.; ἐς Mack. – D'après Mack, θ a ἐς; ma collation n'en dit rien. – πολλὰς EHIJK, Zwing., Lind., Mack. – εἰδέας θ. – ὁμοίων Zwing., Foes in not., Lind., Mack. – ὅμοιον vulg. – D'après Mack, θ a ὁμοίων; ma collation n'en dit rien. – ἀλλήλησιν K. — [10] τωὐτὸ al. manu H. – τὸ ωὐτὸ Ald. – τὸ αὐτὸ vulg. – τωυτὰ θ. – ἱστάμενα θ, Mack. – ἱσταμένων vulg. – ἀεὶ EK. – ἀλλοιούμενα θ, Mack. – ἀλλοιουμένων vulg. – ἔπειτα καὶ ἔπειτα (καὶ ἐπ. om. J, Zwing., Lind., Mack) vulg. – ἐπὶ τὰ καὶ ἐπὶ τὰ Coray, Mus. Oxon. Consp., p. 14. – D'après Mack, καὶ ἔπειτα de vulg. manque dans θ; au contraire ma collation porte ces mots comme existants. — [11] γίνεται θ, Zwing. in marg., exempl. ap. Foes in not., Lind., Mack. – γίνεσθαι vulg. – τὰ om. θ.

absolument ; si jamais l'une des deux prévalait, quelle que fût celle qui prévaudrait la première, aucune des choses qui sont maintenant ne serait comme elle est maintenant ; mais, demeurant ainsi, elles seront les mêmes éternellement et ne feront jamais défaut ni l'une ou l'autre ni en même temps. Ainsi donc le feu et l'eau, comme je l'ai dit, suffisent incessamment à tout, aussi bien pour le maximum que pour le minimum.

4. (*Rien ne naît, rien ne meurt.*) Leurs attributs sont : au feu le chaud et le sec, à l'eau le froid et l'humide. Ils se font des emprunts : le feu emprunte à l'eau l'humide ; en effet, de l'humidité est dans le feu ; l'eau emprunte au feu le sec ; en effet, de la sécheresse est dans l'eau. En cet état, ils sécrètent réciproquement hors de soi des formes nombreuses et variées de germes et d'animaux ne se ressemblant entre eux ni pour l'aspect ni pour les propriétés. Ces éléments ne demeurant jamais au même point, mais changeant sans cesse en un sens ou en l'autre, nécessairement les êtres qui en sont sécrétés deviennent eux-mêmes dissemblables. Ainsi rien absolument ne s'anéantit ; et rien ne naît qui ne fût auparavant. Mais, se mêlant et se séparant, les choses changent. L'opinion est dans le monde que ce qui croît de Pluton à la lumière prend naissance et que ce qui décroît de la lumière à Pluton périt. On s'en rapporte plus aux yeux qu'à la raison ; aux yeux qui ne sont pas suffisants pour juger même de ce qu'ils voient. Moi, c'est à la raison que je demande l'explication. La vie est ici et là ; et s'il y a vie, la mort est impossible si ce n'est avec

–Ante ἀπόλλ. addit καὶ Zwing. in marg. – οὖν (νῦν θ ; γὰρ Lind.) EH. – οὖν om. vulg. – χρωμάτων Ald. — [12] σ. EHIJKθ. – διακρινόμενα (sic), ι in rasura, θ. – ἀλλοιοῦνται al. manu H. — [13] ὑπὸ E (H, al. manu παρὰ) KP'Q'θ. – φάος θ. – φῶς vulg. — [14] τὰ δ' ἐκ τοῦ φάεος ἐς ἅιδην μιωθέντα ἀπόλλυσθαι θ. – δ' E. – φάους E (H, al. manu) K. – ἐς EHK, Mack. – εἰς vulg. — [15] ὀφθαλμοῖσι δὲ δεῖ (δεῖ om., restit. al. manu H ; δεῖν Zwing., Foes in not., Mack ; δὲ μὴ δεῖ L) πιστεύεσθαι μᾶλλον ἢ γνώμῃσιν (γνώμαισιν EGIJ)· ἐγὼ δὲ vulg. – ὀφθαλμοῖσι γὰρ πιστεύουσι μᾶλλον ἢ γνώμῃ, οὐχ ἱκανοῖς ἐοῦσιν οὐδὲ περὶ τῶν ὁραιομένων κρῖναι· ἐγὼ δὲ θ. – Hoc autem idcirco faciunt quod magis oculis quam intellectui credunt, nec ipsa quidem quæ oculis videntur queunt ante agnoscere Cod. Lat.

ἐγὼ δὲ τάδε γνώμῃ ἐξηγέομαι. [1] Ζώει γὰρ κἀκεῖνα καὶ τάδε· καὶ οὔτε εἰ ζῶον, ἀποθανεῖν οἷόν τε, εἰ μὴ μετὰ πάντων· ποῦ γὰρ ἀποθανεῖται; οὔτε τὸ μὴ ὂν γενέσθαι, πόθεν γὰρ ἔσται; ἀλλ' αὔξεται πάντ: καὶ μειοῦται ἐς τὸ μήκιστον καὶ [2] ἐς τὸ ἐλάχιστον, τῶν γε δυνατῶν. Ὅ τι δ' ἂν [3] διαλέγωμαι γενέσθαι ἢ ἀπολέσθαι, τῶν πολλῶν εἵνεκε ἑρμηνεύω· ταῦτα δὲ [4] ξυμμίσγεσθαι καὶ διακρίνεσθαι δηλῶ· ἔχει [5] δ ὧδε· γενέσθαι καὶ ἀπολέσθαι τωὐτὸ, [6] ξυμμιγῆναι καὶ διακριθῆνα τωὐτὸ, [7] αὐξηθῆναι καὶ μειωθῆναι τωὐτὸ, [8] γενέσθαι, ξυμμιγῆνα τωὐτό, ἀπολέσθαι, μειωθῆναι, διακριθῆναι [9] τωὐτὸ, ἕκαστον πρὸ πάντα καὶ πάντα πρὸς ἕκαστον [10] τωὐτὸ, καὶ οὐδὲν πάντων τωὐτό ὁ νόμος γὰρ τῇ φύσει περὶ τούτων ἐναντίος.

5. [11] Χωρεῖ δὲ πάντα καὶ θεῖα καὶ ἀνθρώπινα ἄνω καὶ κάτω ἀμειβόμενα. Ἡμέρη καὶ εὐφρόνη ἐπὶ τὸ μήκιστον καὶ ἐλάχιστον· [12] ὡς κα τῇ σελήνῃ τὸ μήκιστον καὶ [13] τὸ ἐλάχιστον, πυρὸς ἔφοδος καὶ ὕδατος. ἥλιος ἐπὶ τὸ μακρότατον καὶ βραχύτατον, πάντα ταὐτὰ καὶ οὐ ταὐτά. Φάος Ζηνὶ, [14] σκότος Ἀΐδῃ, φάος Ἀΐδῃ, σκότος Ζηνὶ, φοιτᾷ καὶ μετακινεῖται κεῖνα ὧδε, καὶ τάδε κεῖσε, πᾶσαν ὥρην, [15] πᾶσαν χώρην διαπρησσόμενα κεῖνά τε τὰ τῶνδε, τὰ δέ [16] τε τὰ κείνων. [17] Καὶ θ' ὁ μὲν πρήσσουσιν οὐκ οἴδασιν, ἃ δὲ [18] οὐ πρήσσουσι δοκέουσιν εἰδέναι· καὶ [19] θ' ἃ μὲν ὁρέουσιν οὐ γινώσκουσιν, ἀλλ' ὅμως αὐτοῖσι πάντα γί-

[1] Ζῶα γὰρ vulg. – ζῶ εἰ γὰρ, mut. al. manu in ζῶα γὰρ, θ. – καὶ οὔτε τὸ ζῶον ἀποθανεῖν (ἀποθανέειν Mack) οἷόν τε μὴ μετὰ πάντων· καὶ γὰρ (addit ὅθεν Mack) ἀποθανεῖται· οὔτε τὸ μὴ ὂν γενέσθαι (addunt τε FGIJ) μὴ ὄντος (καὶ pro μὴ ὄντος EFGHIJK, Ald.) ὅθεν παραγενήσεται vulg. – καὶ οὔτα (sic) εἰ ζωον (sic) ἀποθανεῖν οἴονται εἰ μὴ μετὰ πάντων, ποῦ γὰρ ἀποθανεῖται; οὔτε τὸ μὴ ὂν γενέσθαι, πόθεν γὰρ ἔσται θ. — [2] ἐς om. E. – ἐς τὸ om. (H, restit. al. manu) θ. – τε pro γε θ. — [3] διαλέγομαι θ. – [τὸ] γενέσθαι Lind. – καὶ τὸ ἀπ. vulg. – ἢ pro καὶ τὸ θ. — [4] δὲ καὶ vulg. – καὶ om. θ. – συνμ. θ. – ξυμμίγεσθαι HJ. — [5] δὲ καὶ ὧδε θ. – τὸ αὐτὸ GIJK. — [6] συνμιγῆναι θ. – ξ. .... ἕκαστον non incluso, om. FGIJ. – τὸ αὐτὸ K. — [7] αὐξ. κ. μ. τωὐτὸ θ. – αὐξ. καὶ μ. τ. om. vulg. — [8] Post γ. addit καὶ θ. – συμμ. EHKθ. – τὸ αὐτὸ K. — [9] τὸ αὐτὸ K. — [10] τὸ αὐτὸ GIJK. – καὶ οὐδὲν πάντων τωὐτὸ θ. – καὶ.... τωὐτὸ om. vulg. – Nihil ex omnibus idem est Cod. Lat. – τὸ δὲ γενέσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα γίνεται, οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπ' ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται, καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι vingt-deuxième fragment d'Anaxagore tiré de Simplicius, Schaubach, p. 135. — [11] χωρὶς vulg. – χωρεῖ est une conjecture d'un jeune savant allemand, M. Bernays, conjecture que j'ai adoptée. – ἀμειβόμενος vulg. – ἀμειβόμενα EIKQ', Lind.,

ensemble des choses; car où serait la mort? Mais s'il n'y a ·as vie, il est impossible que rien naisse; car d'où viendrait ı naissance? Le fait est que tout croît et décroît, atteignant ; maximum et le minimum possibles. Quand je dis naître et ıourir, je m'exprime ainsi à cause du vulgaire; mais c'est ce ue j'entends par se mêler et se séparer. Il en est ainsi : naître t mourir est la même chose; se mêler et se séparer est la ıême chose; croître et décroître est la même chose; naître et e mêler est la même chose; périr, décroître, se séparer est a même chose. Un pour tout, tout pour un, c'est la même hose, et rien dans tout n'est la même chose; car l'usage est, ur ce point, en opposition avec la nature.

5. (*Exemples de la révolution éternelle des choses.*) Toutes es choses divines et humaines cheminent, alternant en haut t en bas. Le jour et la nuit ont un maximum et un minimum, omme la lune a un maximum et un minimum; le feu et l'eau nt leur ascendant; le soleil a sa période la plus longue et a période la plus courte. Tout est le même et non le nême. Lumière à Jupiter, ténèbres à Pluton; lumière à Pluon, ténèbres à Jupiter; cela ici, et ceci là, marche et se dé-ılace, faisant, en toute saison, en tout pays, cela la fonction le ceci, ceci la fonction de cela. Et ce que l'on fait, on ne e sait pas; ce que l'on ne fait pas, on semble le savoir; ce ue l'on voit, on ne le connaît pas; et cependant tout s'ac-

Mack. – ἀμειβομένω, al. manu όμενα, θ. – ἀμείβονται Zwing. in marg. – Le traducteur dont nous avons la version dans le Cod. Lat. savait médiocrement le grec, car il traduit εὐφρόνη par *bene sciens.* — [12] ὡς.... ἐλάχιστον om. θ. – τῇ om., restit. al. manu H. – Post σελ. addunt εἴη EHP'Q'. – καὶ τὸ ἐλ. om., restit. al. manu E. — [13] τὸ om., restit. al. manu H. – Ante πυρὸς addunt καὶ τοῦ EP'Q'. – πάλιν ταῦτα καὶ οὐ ταῦτα vulg. – πάντα, al. manu πάλιν, ταῦτα, καὶ οὐ τὰ αὐτὰ θ. — [14] σ. Ἄ., φ. Ἄ. om. θ. – καὶ μεταχ. om. (H, restit. al. manu) θ. – τάδ' ἐκεῖσε G. – ἐκεῖσε Eθ. – πᾶσαν EHIJKθ. – πάσην vulg. — [15] πᾶσαν χώρην θ. – π. χ. om. vulg. – ἐκεῖνα θ. — [16] τε θ. – τε om. vulg. – τὰ κείνων θ. – ταῦτα κείνων vulg. — [17] καθὰ pro καὶ θ' ἃ G. – τὰ pro θ' ἃ θ. – ἃ pro θ' ἃ Mack. – Correction inutile; c'est la locution καί τε. – πράσσουσιν E. — [18] οὐ θ, Mack. – οὐ om. vulg. — [19] τὰ θ. – ἃ Mack. – ἐραίουσιν (sic) θ. – ὁρῶσιν vulg. – ὅκως pro ὅμως EFGIJKθ, Ald. – θεῖαν EK.

νεται δι' ἀνάγκην θείην καὶ ἃ βούλονται καὶ [1] ἃ μὴ βούλονται. Φοιτεόντων δ' ἐκείνων ὧδε, [2] τῶν δέ τε κεῖσε, συμμισγομένων πρὸς ἄλληλα, τὴν πεπρωμένην μοίρην ἕκαστον ἐκπληροῖ, καὶ ἐπὶ τὸ μέζον καὶ ἐπὶ τὸ μεῖον. [3] Φθορὴ δὲ πᾶσιν ἀπ' ἀλλήλων, τῷ μέζονι ἀπὸ τοῦ μείονος καὶ τῷ μείονι ἀπὸ τοῦ [4] μέζονος, αὐξάνεται καὶ τὸ μέζον ἀπὸ τοῦ ἐλάσσονος, [5] καὶ τὸ ἔλασσον ἀπὸ τοῦ μέζονος.

6. Τὰ [6] δ' ἄλλα πάντα, καὶ ψυχὴ ἀνθρώπου, καὶ σῶμα ὁκοῖον ἡ ψυχὴ, διακοσμέεται. Ἐσέρπει δὲ ἐς ἄνθρωπον μέρεα μερέων, ὅλα ὅλων, ἔχοντα σύγκρησιν πυρὸς καὶ ὕδατος, τὰ μὲν ληψόμενα, τὰ δὲ δώσοντα· καὶ τὰ μὲν λαμβάνοντα πλεῖον [7] ποιέει, τὰ δὲ διδόντα μεῖον. Πρίουσιν ἄνθρωποι ξύλον, ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει, τὸ δ' αὐτὸ τοῦτο ποιέουσι, μεῖον δὲ ποιέοντες πλεῖον [8] ποιέουσι. Τὸ δ' αὐτὸ καὶ φύσις ἀνθρώπων, τὸ μὲν ὠθέει, τὸ [9] δὲ ἕλκει· [10] τὸ μὲν δίδωσι, τὸ δὲ λαμβάνει· καὶ τῷ μὲν [11] δίδωσι, [12] τοῦ δὲ λαμβάνει, καὶ τῷ μὲν δίδωσι τοσούτῳ [13] πλέον, τοῦ δὲ λαμβάνει τοσούτῳ μεῖον. Χώρην δὲ ἕκαστον φυλάσσει τὴν ἑωυτοῦ, καὶ τὰ μὲν ἐπὶ τὸ μεῖον [14] ἰόντα διακρίνεται ἐς τὴν ἐλάσσονα χώρην· τὰ δὲ ἐπὶ τὸ [15] μέζον πορευόμενα, [16] ξυμμισγόμενα ἐξαλλάσσει ἐς τὴν μέζω τάξιν· τὰ δὲ ξεῖνα μὴ ὁμότροπα [17] ὠθέεται ἐκ χώρης ἀλλοτρίης. Ἑκάστη δὲ ψυχὴ μέζω καὶ ἐλάσσω ἔχουσα περιφοιτᾷ τὰ μόρια τὰ ἑωυτῆς, [18] οὐ προσθέσιος οὐδὲ ἀφαιρέσιος δεομένη τῶν μερέων, κατὰ δὲ αὔξησιν καὶ μείωσιν τῶν ὑπαρχόντων [19] δεομένη χώρης, ἕκαστα διαπρήσσεται ἐς ἥντινα [20] ἂν ἐσέλθῃ, καὶ δέχεται τὰ προσπίπτοντα. Οὐ γὰρ δύναται τὸ μὴ ὁμότροπον ἐν [21] τοῖσιν ἀσυμφό-

[1] Ἃ θ, Mack. – ἃ om. vulg. – φοιτώντων δὲ ἐκείνων θ. – δὲ κείνων EFHIJK – ὧδε.... ἕκαστον om. G. — [2] καὶ τῶνδε κεῖσε IJK, Lind. – καὶ τῶνδ' ἐκεῖσε E (H, al. manu). – τι pro τε θ. – συμμ. om. FIJ. – Post συμμ. addunt τ Zwing., Lind. – μοίραν θ. – μεῖζον EHJP', Mack. — [3] φορὴ (E, al. manu φθορὴ) θ. – μέζονι HK, Lind. – μείζονι vulg. – μείωνι E. — [4] μείζονος E. – μέζωνος G. – μέζονως (sic) Ald. – αὔξεται θ. – καὶ om. FGHIJKθ. – τὸ δὲ pro καὶ τὸ E. – μεῖζον Mack. — [5] καὶ.... μέζονος θ, Mack. – καὶ.... μέζονος om. vulg. — [6] δὲ EHθ, Mack. – ἡσυχῇ pro ἡ ψυχὴ θ. – σύγκρισιν (H, al. manu κρῆ) IJ. — [7] ποίεεῖ θ. — [8] πονέουσι Ald. – τοιοῦτον pro τὸ δ' αὐτὸ καὶ EHIK Q'θ (Zwing. in marg. τοιοῦτο). — [9] δ' E. — [10] τὸ μὲν δ., τὸ δὲ λ. καὶ om. IK – δὲ pro μὲν θ. — [11] διδόντι J. — [12] τοῦδε Lind., Mack. – τοῦ δὲ λ. om. E. – τοῦ δὲ λ. καὶ τῷ μὲν δ. om. FGJ. — [13] πλέον θ. – πλεῖον vulg. – τοῦ δὲ Zwing. Foes in not., Lind., Mack. – ὃ δὲ vulg. – ὁ δὲ EHK. – οὐδὲν FGIJθ, Ald. – φυλάσσειν θ. — [14] ἐόντα FG, Ald. – ἐς EHIKθ, Lind., Mack. – εἰς vulg. — [15] μεῖζον EK, Mack. — [16] ξ. FG, Ald. – σ. vulg. – μέζω HKθ, Lind. – μείζο

accomplit par une nécessité divine, aussi bien ce qu'on veut que ce qu'on ne veut pas. Cela marchant ici, et ceci marchant là, et se mêlant réciproquement, les choses remplissent leur destinée fatale, et pour le plus et pour le moins. La destruction vient à tout de chaque chose, au plus grand du plus petit, au plus petit du plus grand; le plus grand s'accroît aux dépens du plus petit, et le plus petit aux dépens du plus grand.

6. (*Échange perpétuel.*) Tout le reste, et l'âme de l'homme et le corps comme l'âme, ont leur disposition. Dans l'homme pénètrent des parties de parties, des touts de touts, ayant une mixture de feu et d'eau, les unes pour prendre, les autres pour donner; et les parties prenantes font davantage, les parties donnantes font moins. Les hommes scient le bois, l'un tire, l'autre pousse; ils font la même besogne; fesant moins, ils font plus. De même pour la nature humaine; ceci pousse, cela tire; ceci donne, cela prend, donne à ceci, prend à cela, donne à ceci d'autant plus, prend à cela d'autant moins. Chaque chose garde sa place; ce qui va au moins passe à la place moindre; ce qui va au plus, se mêlant, passe au rang plus grand; les choses étrangères, non homogènes, sont poussées hors de la place d'autrui. Chaque âme ayant du plus et du moins visite ses parties à elle, n'ayant besoin ni d'ajouter ni de retrancher aux parties, mais ayant besoin de place pour l'accroissement et la diminution du fonds existant; elle accomplit chaque office en quelque place qu'elle aille et reçoit ce qui est introduit. En effet, les choses non-homogènes ne peu-

vulg. – τᾶξιν I. — [17] ἐκχωρέεται θ. – ἑκάστη (E, al. manu ἑκάστῳ) Kθ. – ἑκάστῳ vulg. – δὲ ψυχὴ θ, Zwing., Foes in not., Lind. – δ' ἡ ψυχὴ Mack. – δὲ τύχη vulg. – μείζω Mack. — [18] οὔτε πρ. οὔτε ἀφ. θ. – δεομένη (F, al. manu) θ. – δεομένης EHK, Ald. – δεομένων vulg. – τῶν ὑπαρχόντων καὶ μείωσιν θ. — [19] δεομένη. Χώρην δὲ ἕκαστα (ἑκάστῳ K') vulg. – δεόμενα χώρης, al. manu ην, ἕκαστα θ. – Mack dit que θ a ἐν ἑκάστῳ ; ma collation porte ἕκαστα. — [20] ἂν θ. – ἂν om. vulg. – εἰσέλθῃ vulg. – ἐσέλθῃ EHIJK, Lind. – ἔλθῃ θ. – δέξεται vulg. – δέξηται Zwing., Lind., Mack. – δέχηται EHJ, Ald. – δέχεται GIK. – ἀνέχεται sine καὶ θ. – Mack dit que θ a καί. — [21] τοῖς K. – μὴ ὁμονοεῖν pro ἐμμένειν θ. – ἀγνώμονα, al. manu ἀγνοούμονα (sic) θ. – ἀγνοούμενα vulg. – ἀγνοούμονα al. manu H.

ροίσι χωρίοισιν ἐμμένειν· πλανᾶται μὲν γὰρ ἀγνώμονα· [1]συγγινόμενα δὲ ἀλλήλοισι [2]γινώσκει πρὸς ὃ προσίζει· προσίζει γὰρ τὸ σύμφορον τῷ συμφόρῳ, τὸ δὲ ἀσύμφορον πολεμεῖ καὶ μάχεται καὶ διαλλάσσει ἀπ' ἀλλήλων. [3]Διὰ τοῦτο ἀνθρώπου ψυχὴ ἐν ἀνθρώπῳ αὐξάνεται, ἐν ἄλλῳ δὲ οὐδενί· καὶ τῶν ἄλλων ζώων τῶν μεγάλων ὡσαύτως· [4]ὁκόσα δὲ ἄλλως, ἀπ' ἄλλων ὑπὸ βίης ἀποκρίνεται.

7. Περὶ μὲν οὖν τῶν ἄλλων ζώων ἐάσω, περὶ δὲ ἀνθρώπου δηλώσω. Ἐσέρπει [5]δὲ ἐς ἄνθρωπον ψυχή· πυρὸς καὶ ὕδατος ξύγκρησιν ἔχουσα, μοῖραν σώματος ἀνθρώπου· ταῦτα δὲ [6]καὶ θήλεα καὶ ἄρσενα καὶ πολλὰ καὶ παντοῖα [7]τρέφεται, τρέφεται δὲ καὶ αὔξεται διαίτῃ τῇ περὶ τὸν ἄνθρωπον· ἀνάγκη [8]δὲ τὰ μέρεα ἔχειν πάντα τὰ ἐσιόντα· οὗτινος γὰρ μὴ ἐνείη, μοίρη ἐξ ἀρχῆς οὐκ ἂν αὐξηθείη οὔτε πουλλῆς [9]ἐπιούσης τροφῆς οὔτε ὀλίγης, οὐ γὰρ ἔχει τὸ προσαυξόμενον· ἔχον δὲ πάντα, αὔξεται ἐν χώρῃ τῇ ἑωυτοῦ ἕκαστον, [10]τροφῆς ἐπιούσης ἀπὸ ὕδατος ξηροῦ καὶ πυρὸς ὑγροῦ, [11]τὰ μὲν εἴσω βιαζόμενα, τὰ δὲ ἔξω. Ὥσπερ οἱ τέκτονες [12]τὸ ξύλον πρίουσι, καὶ ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει, [13]τωὐτὸ ποιέοντες· κάτω δ' ὁ πιέζων τὸν ἄνω ἕλκει, οὐ γὰρ ἂν παραδέχοιτο κάτω ἰέναι· ἢν δὲ [14]βιάζωνται, παντὸς ἁμαρτήσονται. Τοιοῦτον τροφὴ ἀνθρώπου· τὸ μὲν ἕλκει, τὸ δὲ ὠθέει, [15]εἴσω δὲ βιαζόμενον ἔξω ἕρπει· ἢν δὲ βιῆται παρὰ καιρὸν, παντὸς ἀποτεύξεται.

8. Χρόνον δὲ τοσοῦτον [16]ἕκαστα τὴν αὐτὴν ἔχει τάξιν, ἄχρι μηκέτι δέχηται [17]ἡ τροφὴ, μηδὲ χώρην ἱκανὴν ἔχῃ ἐς τὸ μήκιστον τῶν

[1] Συνγινόμενα θ. – ξυμμισγόμενα (σ. EHIJK) vulg. – ἀλλήλησι K. — [2] συγγινώσκεται· προσίζει γὰρ vulg. – γινώσκει πρὸς ὃ προσίζει· προσίζει γὰρ θ. – πολεμέει Mack. – διαλάσσει G. — [3] καὶ διὰ EP'Q'. — [4] ὅσα θ. – δ' EK. – δὲ om. θ. – ἀπ' ἀλλήλων E (H, in marg. al. manu ἄλλων), Zwing. in marg., Lind., Mack. – οὖν om. θ. — [5] δ' Mack. – γὰρ pro δὲ θ. – σύγκρασιν EHIJKθ. – ξύγκρασιν G. – ἔχουσαν θ. — [6] καὶ θ. – τὰ pro καὶ vulg. – ἄρρενα K. — [7] τρέφεται om. θ. – τε pro δὲ θ. – διαίτη τηπερ (sic) ἄνθρωπος θ. — [8] δὲ καὶ τὰ EH. – ἐσιόντα HK, Lind. – εἰσ. vulg. – μοῖρα vulg. – μοίρη EHK. – ἂν om. θ. – πολλῆς EHKθ, Zwing., Lind., Mack. — [9] τρ. ἐπ. θ. — [10] τρ. δὲ ἐπ. ἀπὸ ὕδ. ὑγροῦ καὶ π. ξηροῦ K'. — [11] καὶ τὰ μὲν θ. — [12] πρ. τὸ ξ. HK. – τρυπῶσιν, al. manu πρίζουσι θ. – καὶ om. θ. — [13] τωυτὸ EHK. – τὸ ὠυτὸ Ald., Frob., Zwing. – τὸ αὐτὸ vulg. – δ' ὁ E (H, οὐ pro ὁ) KK'P'Q'. – δὲ pro δ', et ὁ om. vulg. – ἕλκει EG (H, al. manu) JKKT'Q', Zwing. in marg., Lind., Mack. – ἕρπει vulg. – κάτω δὲ πιεζόντων ἀνέρπει θ. — [14] βιάζηται θ. – πάντως EHK. – ἁμαρτήσεται θ. — [15] ἔσω Lind. – βιαζομένου θ. – ἕλκει Zwing. in marg., Mack. – βιᾶται, al. manu βιῆται H. – πάντως HK. — [16] ἕκαστον θ. – τάξιν ἔχει EHθ. — [17] ἡ τροφὴ,

vent demeurer dans les lieux non appropriés; elles errent sans savoir; mais, se rapprochant les unes des autres, elles connaissent ce à quoi elles s'adjoignent. Car l'homogène s'adjoint à l'homogène, mais l'hétérogène lutte, combat et se sépare. Pour cela l'âme de l'homme croît dans l'homme et dans nul autre; de même pour les autres grands animaux. Quand il en est autrement, l'expulsion se fait par une violence étrangère.

7. (*La nutrition se fait parce que l'aliment contient des parties de tout ce qu'il y a dans le corps.*) Laissant de côté les autres animaux, je parlerai de l'homme. En l'homme pénètre une âme, ayant une mixture de feu et d'eau, qui est la part du corps humain. Tout cela, mâle et femelle, multiple et divers, se nourrit; et c'est le régime dont l'homme use, qui procure l'alimentation et la croissance. Il est nécessaire que ce qui entre ait toutes les parties; autrement, pour cette partie qui manquerait, la portion primitive ne recevrait aucun accroissement, qu'il vînt beaucoup ou peu de nourriture; car elle n'aurait pas de quoi s'accroître; mais, ayant tout, chaque partie s'augmente en son lieu, grâce à la nourriture d'une eau sèche et d'un feu humide, ceci étant poussé au dedans et cela au dehors. De même, les charpentiers sciant le bois, l'un tire, l'autre pousse, faisant la même chose, celui qui pousse en bas tire celui qui est en haut, sans quoi la scie ne marcherait pas, et, si l'on y met de la force, tout est manqué. De même, dans l'alimentation de l'homme, cela tire, ceci pousse; introduit de force au dedans, il glisse au dehors; mais s'il y a violence inopportune, rien ne réussit.

8. (*A chaque développement les éléments du corps se séparent pour se mêler de nouveau. Comparaison fort obscure de l'harmonie de ce développement avec l'harmonie musicale.*) Chaque chose demeure en son rang jusqu'à ce que la nourriture ne s'y prête plus et que la place ne soit plus suffisante à la

μηδὲ χώρην ἱκανὴν θ. – ἡ χωρὴ, μηδὲ τροφὴν ἱκανὴν vulg. – ἔχει E. – δυνατῶν θ. – ὑδάτων (H, al. manu δυνατῶν) vulg. – ἔπειτα EHK.

δυνατῶν, ἔπειτ' ἐναμείβει ἐς τὴν [1] μέζονα χώρην, θήλεα καὶ ἄρσενα, τὸν αὐτὸν τρόπον ὑπὸ βίης καὶ ἀνάγκης διωκόμενα· ὁκόσα δ' [2] ἂν πρότερον ἐμπλήσῃ τὴν πεπρωμένην μοίρην, ταῦτα διακρίνεται πρῶτα, [3] ἅμα δὲ καὶ συμμίσγεται· ἕκαστον μὲν γὰρ [4] διακρίνεται πρῶτα, ἅμα δὲ καὶ [5] ξυμμίσγεται· χώρην δὲ ἀμείψαντα καὶ τυχόντα ἁρμονίης ὀρθῆς ἐχούσης συμφωνίας τρεῖς, [6] ξυλλήβδην διεξὸν διὰ πασέων, ζώει καὶ αὔξεται τοῖσιν αὐτοῖσιν οἷσι καὶ πρόσθεν· ἣν δὲ μὴ τύχῃ τῆς ἁρμονίης, μηδὲ [7] ξύμφωνα τὰ βαρέα τοῖσιν ὀξέσι γένηται, ἣν ἡ πρώτη συμφωνίη, ἣν ἡ δευτέρη γεννηθῇ ἢ τὸ διὰ παντὸς, [8] ἑνὸς ἀπογενομένου πᾶς ὁ τόνος μάταιος· οὐ γὰρ ἂν [9] προσαείσειεν· ἀλλ' ἀμείβει ἐκ τοῦ μέζονος ἐς τὸ μεῖον πρὸ μοίρης· διότι οὐ γινώσκουσιν ὅ τι ποιέουσιν.

9. Ἀρσένων μὲν οὖν καὶ [10] θηλείων διότι ἑκάτερα γίνεται, προϊόντι τῷ λόγῳ δηλώσω. Τούτων δὲ ὁκότερον ἂν τύχῃ ἐλθὸν καὶ τύχῃ τῆς ἁρμονίης, ὑγρὸν ἐὸν κινέεται ὑπὸ τοῦ πυρός· [11] κινεόμενον δὲ ζωπυρέεται καὶ προσάγεται τὴν τροφὴν ἀπὸ τῶν [12] ἐσιόντων ἐς τὴν γυναῖκα σιτίων καὶ πνεύματος, τὰ μὲν πρῶτα πάντῃ ὁμοίως, ἕως ἔτι ἀραιόν ἐστιν· ὑπὸ δὲ τῆς [13] κινήσιος καὶ τοῦ πυρὸς ξηραίνεται καὶ στερεοῦται· στερεούμενον δὲ πυκνοῦται πέριξ· καὶ τὸ πῦρ ἐγκατακλειόμενον οὐκ ἔτι τὴν τροφὴν ἱκανὴν ἔχει ἐπάγεσθαι, οὐδὲ τὸ πνεῦμα ἐξωθέει [14] διὰ τὴν πυκνότητα τοῦ περιέχοντος· ἀναλίσκει [15] οὖν τὸ ὑπάρχον ὑγρὸν εἴσω. Τὰ μὲν οὖν στερεὰ τὴν φύσιν ἐν τῷ [16] ξυνεστηκότι καὶ ξηρῷ οὐ καταναλίσκεται τῷ

[1] Μέζονα θ. – ἔξω pro μ. vulg. – αὐτὸν θ, Lind. – ἑωυτὸν vulg. – ὡυτὸν EH K, Zwing. – ἑωυτῶν Zwing. in marg. – ὁκότερα vulg. – ὁκόσα P', Mack. – Cette correction paraît bonne, autant qu'on en peut juger dans un passage aussi obscur. — [2] ἣν EH, Frob., Zwing. – πρότερον θ. – πρ. om. vulg. – ἐκπλήσῃ θ. – μοίραν θ. — [3] καὶ ἅμα σ. vulg. – ἅμα δὲ καὶ σ. θ. — [4] διακρ. πάντα δὲ ταῦτα ξυμμ. vulg. – διακρ. πρῶτα, ἅμα δὲ καὶ συνμίσγεται θ. — [5] σ. EHIJK. – ὀρθῆς EGHIJθ. – ὀρθῶς vulg. – συμφωνίης (E, al. manu ας) H. – τρὶς θ. — [6] συλλ. θ. – διεξιὸν θ. – διεξιὼν vulg. – διεξιόντα Lind. – διεξιούσας K', Mack. – διαπάσσων θ. – ζώη HKθ. – οἷσί περ καὶ θ. – οἷσπερ καὶ EHK. – ἁρμονίας θ. — [7] σ. EHIJKθ. – τὰ θ. – τὰ om. vulg. – ὀξέοισι (sic) θ. – γένηται ἡ πρώτη σ. (ξ. IJ; addunt διαφθείρεται Lind.; ἀπόλλυται Mack), ἣν (add. ἡ θ) δὲ δευτέρη γένεσις ᾖ (ᾖ om. θ; ᾗ Zwing.) τὸ διὰ (τὸ διὰ om. K') παντὸς vulg. – Ma conjecture est fort hasardée; mais le passage est désespéré. — [8] τινὸς pro ἑνὸς θ. – γενομένου, al. manu ἀπογενομένου E. — [9] προσαείσαιεν EHIK. – προσαείσεεν (sic) G. – προσαείσαι θ. – ἀλλὰ θ. – ἀμείβῃ vulg. – ἀμείβει EGHIJQ', Mack. – ἀμίβει θ. – μείζονος J. – ἐς EH, Lind., Mack. – εἰς vulg. – προμοιρῆσαι· ὅτι θ. — [10] θηλέων EK. – θηλήων I. – θηλειῶν J. – θηλίων θ. – ὁπότερον θ.

plus grande extension possible; alors les choses passent à une place plus grande, mâles et femelles, poursuivies semblablement par la force et la nécessité. Ce qui a rempli d'abord la part assignée, se sépare d'abord, et en même temps se mêle; en effet chaque chose se sépare d'abord, et en même temps se mêle. Changeant de place et trouvant la juste harmonie qui a les trois accords, parcourant dans leur ensemble tous les accords, l'être vit et s'accroît par les mêmes choses qu'auparavant; mais, s'il ne trouve pas l'harmonie, si les sons graves ne s'accordent pas avec les aigus, s'il se produit le premier accord, ou le second, ou l'accord général, tout le ton, un seul faisant défaut, est vain (*voy. note* 7); car il n'y aura pas concert; mais on passe du plus grand au plus petit avant l'ordre, aussi ne sait-on pas ce que l'on fait.

9. (*Théorie de la formation du fœtus par le feu, qui consume l'humide, solidifie certaines parties et creuse des canaux dans certaines autres.*) Quant aux mâles et aux femelles, j'exposerai dans la suite de ce discours pourquoi l'un et l'autre est produit. Mais quel que soit le sexe que la chance amène et qui trouve l'harmonie, il est mû, étant humide, par le feu; mû il s'embrase, et extrait la nourriture des aliments et de l'air introduits dans la femme; d'abord cette attraction est partout semblable tant que le corps est lâche; mais par le mouvement et le feu il se sèche et se solidifie; solidifié, il se concrète tout autour; le feu, renfermé, n'a plus une nourriture suffisante à attirer, et il n'expulse pas l'air à cause de la densité de la surface ambiente. Donc il consume l'humide intérieur. De là sorte, les parties naturellement solides, étant

– ἣν pro ἂν EGHIJKθ, Frob., Zwing. – τύχῃ ἐλθὸν καὶ θ. – τ. ἐλθ. καὶ om. vulg. – κεινέεται θ. — [11] κειν. θ. – ζωπυρῆται vulg. – ζωπυρεῖται JQ'θ. – ζωπυρέεται EHK, Lind., Mack. — [12] εἰσ. J. – σίτων EHP'θ. – ἔτι EIJQ'θ, Zwing. in marg., Mack. – ἄρτι vulg. — [13] κειν. θ. – ἐγκατακλειόμενον HKQ'θ. – ἐγκλειόμενον vulg. – ἔξω θέει Zwing. in marg. — [14] Post διὰ addit δὲ al. manu J. – ὑπερέχοντος Ald. — [15] γὰρ (γὰρ om. IJ) vulg. – οὖν EHKθ. — [16] σ. EHJKθ. – οὐ καταναλίσκεται θ. – οὐκ ἀναλίσκεται vulg. – ἐν τῷ πυρὶ E. – ἐγκατέχ (sic) E.

πυρὶ ἐς τὴν τροφήν· ἀλλ' ἐγκρατέα γίνεται καὶ [1] ξυνίσταται τοῦ ὑγροῦ ἐκλείποντος, ἅπερ ὀστέα καὶ νεῦρα ἐπονομάζεται. Τὸ δὲ πῦρ ἐκ τοῦ συμμιγέντος [2] κινευμένου τοῦ ὑγροῦ διακοσμέεται τὸ σῶμα κατὰ φύσιν διὰ τοιήνδε ἀνάγκην· διὰ μὲν [3] τῶν στερεῶν καὶ ξηρῶν οὐ δύναται τὰς διεξόδους χρονίας ποιέεσθαι, διότι οὐκ ἔχει τροφήν· διὰ δὲ τῶν ὑγρῶν καὶ μαλακῶν δύναται· [4] ταῦτα γάρ ἐστιν αὐτῷ τροφή· ἔνι δὲ καὶ ἐν τούτοισι ξηρότης οὐ καταναλισκομένη ὑπὸ τοῦ πυρός· ταῦτα δὲ [5] ξυνίσταται πρὸς ἄλληλα. Τὸ μὲν οὖν ἐσωτάτω καταφραχθὲν πῦρ καὶ πλεῖστόν [6] ἐστι καὶ μεγίστην τὴν διέξοδον ἐποιήσατο· [7] πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, ὅπερ κοιλίη καλέεται· καὶ ἐξέπεσεν ἐντεῦθεν, ἐπεὶ οὐκ εἶχε τροφὴν ἔξω, καὶ ἐποιήσατο [8] τοῦ πνεύματος διεξόδους καὶ τροφῆς ἐπαγωγὴν καὶ διάπεμψιν· τὸ δὲ ἀποκλεισθὲν ἐς ἄλλο σῶμα περιόδους ἐποιήσατο τρισσὰς, ὅπερ ἦν ὑγρότατον τοῦ πυρὸς, ἐν τούτοισι [9] τοῖσι χωρίοισιν, αἵτινες φλέβες καλέονται κοῖλαι· ἐς δὲ τὰ μέσα τούτων τὸ ὑπολειπόμενον τοῦ ὕδατος [10] ξυνιστάμενον πήγνυται, ὅπερ καλέεται σάρκες.

10. Ἑνὶ δὲ λόγῳ πάντα διεκοσμήσατο κατὰ τρόπον [11] αὐτὸ ἑωυτῷ τὰ ἐν τῷ σώματι τὸ πῦρ, ἀπομίμησιν τοῦ ὅλου, μικρὰ πρὸς μεγάλα καὶ μεγάλα πρὸς μικρά· κοιλίην μὲν τὴν μεγίστην, [12] ξηρῷ καὶ ὑγρῷ ταμεῖον, δοῦναι πᾶσι καὶ λαβεῖν παρὰ πάντων, θαλάσσης δύναμιν, ζώων [13] ἐντρόφων τροφὸν, ἀσυμφόρων δὲ [14] φθορόν· περὶ δὲ ταύτην ὕδατος ψυχροῦ καὶ ὑγροῦ σύστασιν· διέξοδον πνεύματος ψυχροῦ καὶ θερμοῦ· ἀπομίμησιν τῆς γῆς, τὰ ἐπεισπίπτοντα πάντα ἀλλοιούσης. [15] Καταναλίσκον δὲ καὶ αὖξον σκέδασιν ὕδατος λεπτοῦ καὶ πυρὸς ἐποιή-

[1] Σ. EHIKθ. – ὑγροῦ οὐκ ἐνλίποντος (sic) θ. – ὀνομάζεται θ. – ἐπωνομάζεται G, Ald., Lind. — [2] κινουμένου (κειν. θ) vulg. – κινευμένου EK. — [3] τῶν στερεῶν καὶ ξηρῶν θ. – τὸ στερεὸν καὶ ξηρὸν vulg. — [4] τ. δὲ αὐτῷ ἐστι τροφὴ θ. – οὐ καταναλισκομένη θ. – οὐκ ἀναλισκομένη vulg. — [5] σ. EHIJθ. — [6] ἐστι om., restit. al. manu H. – ἐστι.... ἐποιήσατο om. θ. – τὴν om., restit. al. manu H. – ἔξοδον GJP', Frob. — [7] ἄνω pro πλεῖστον θ. – ἐντεῦθενην ὅποι κοιλίη καλέεται θ. – εἶχε θ, Mack. – ἔχει vulg. — [8] τοῦ πνεύματος διεξόδους θ, Mack. – πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν pro τ. π. δ. vulg. – διάπεμψιν EHIKθ. – διάπεψιν vulg. – ἀποκλισθὲν θ. – ἐς E, Lind., Mack. – εἰς vulg. – ὁ γὰρ pro ὅπερ P'. — [9] τοῖς E. — [10] ξυνισταμένου vulg. – συνιστάμενον EFHIJθ. – ξυνιστάμενον Ald., Frob., Zwing. — [11] αὐτῷ (αὐτὸ θ, Zwing., Lind., Mack) ἑωυτὸ (ἑωυτῷ EHK, Zwing., Lind., Mack; ἑ. om. θ) vulg. – τῷ Kθ. – τῷ om. vulg. — [12] Ante ξ. addit ὕδατι θ. – πᾶσι om. θ. — [13] ἔντροφον EK. – συντρόφων θ. – τροφὸν HIJθ, Lind., Mack. – τροφὴν (τρ. om. EKP') vulg.—

a un point consistant et sec, ne sont pas consumées pour l'alimentation du feu; mais elles se fortifient, se condensent à mesure que l'humide fait défaut; et c'est ce qu'on nomme os et nerfs. Le feu tire de l'humide mêlé et mis en mouvement la disposition naturelle du corps par cette nécessité-ci : à travers les parties solides et sèches il ne peut se faire des voies durables, attendu qu'il n'a pas d'aliment; mais il le peut à travers les parties humides et molles, car ce lui est nourriture. Il est aussi dans ces parties une humidité non consumée par le feu; et cela se resserre mutuellement. Donc le feu le plus intérieur, clos de toute part, est le plus abondant et s'est fait la plus ample voie; car là était le plus d'humide et c'est ce qu'on nomme ventre. Il sortit de là, n'ayant pas de nourriture du dehors, et il fit les voies de l'air, la conduite et la distribution de la nourriture. Quant au feu intercepté, il fit dans le reste du corps trois circulations; ce qui était la partie la plus humide du feu se trouvant en ces places qui sont nommées veines caves. Dans le milieu, le restant de l'eau, contracté, se durcit, et cela se nomme chairs.

10. (*Le feu a tout disposé dans le corps conformément à sa nature. Comparaison de cette disposition avec l'arrangement du monde. C'est dans le feu intérieur que gît l'âme, la pensée, le mouvement.*) En un mot, le feu disposa tout dans le corps suivant le mode conforme à lui-même, copie de l'ensemble, le petit envers le grand, le grand envers le petit; le ventre très-ample, réservoir pour le sec et l'humide; donnant à tous et recevant de tous, ayant la vertu de la mer, nourrice des êtres ses nourrissons, mortelle à ce qui est étranger; à l'entour, une concrétion d'une eau froide et humide; la voie de l'air froid et chaud; la copie de la terre changeant tout ce qui y tombe. Consumant et augmentant, il fit une dispersion

[14] φορὸν FGIJ. – σύστασιν θ. – σύστασις vulg. – διέξοδον θ. – διέξοδος vulg. – τῆς om. θ. — [15] καταναλίσκοντα (καταναλίσκονται FGJ) δὲ αὖξον vulg. – καταναλίσκον δὲ καὶ αὖξον Zwing., Foes in not., Mack. – καὶ τὰ μὲν καταναλίσκον, τὰ δὲ αὖξον K', Lind.

σατο [1] ἠερίου, ἀφανέος καὶ φανεροῦ, ἀπὸ τοῦ [2] ξυνεστηκότος ἀπόκρισιν, ἐν ᾧ φερόμενα πάντα ἐς τὸ φανερὸν ἀφικνέεται ἕκαστα μοίρῃ [3] πεπρωμένῃ. Ἐν δὲ τούτῳ ἐποιήσατο πυρὸς περιόδους τρισσὰς, περαινούσας πρὸς ἀλλήλας καὶ εἴσω καὶ ἔξω· αἱ μὲν πρὸς τὰ κοῖλα τῶν ὑγρῶν, σελήνης δύναμιν, αἱ δὲ [4] ἐς τὴν ἔξω περιφορὰν, πρὸς τὸν περιέχοντα πάγον, ἄστρων δύναμιν, αἱ δὲ μέσαι καὶ εἴσω καὶ ἔξω περαίνουσαι. Τὸ θερμότατον καὶ ἰσχυρότατον πῦρ, ὅπερ πάντων [5] ἐπικρατέεται, διέπον ἅπαντα κατὰ φύσιν, [6] ἄϊκτον καὶ ὄψει καὶ ψαύσει, ἐν τούτῳ ψυχὴ, νοὸς, φρόνησις, αὔξησις, κίνησις, μείωσις, διάλλαξις, ὕπνος, ἐγρήγορσις· τοῦτο πάντα διὰ παντὸς κυβερνᾷ, καὶ τάδε [7] καὶ ἐκεῖνα, οὐδέκοτε ἀτρεμίζον.

11. Οἱ δὲ ἄνθρωποι ἐκ τῶν φανερῶν τὰ [8] ἀφανέα σκέπτεσθαι οὐκ ἐπίστανται· τέχνῃσι γὰρ χρεόμενοι ὁμοίῃσιν ἀνθρωπίνῃ φύσει οὐ γινώσκουσιν· [9] θεῶν γὰρ νόος ἐδίδαξε μιμέεσθαι τὰ ἑωυτῶν, γινώσκοντας ἃ ποιέουσι, καὶ [10] οὐ γινώσκοντας ἃ μιμέονται. Πάντα γὰρ ὅμοια, ἀνόμοια ἐόντα· καὶ σύμφορα [11] πάντα, διάφορα ἐόντα· διαλεγόμενα, οὐ διαλεγόμενα· γνώμην ἔχοντα, ἀγνώμονα· ὑπεναντίος ὁ τρόπος ἑκάστων, ὁμολογούμενος. Νόμος γὰρ καὶ [12] φύσις, οἷσι πάντα διαπρησσόμεθα, οὐχ ὁμολογέεται ὁμολογεόμενα· νόμον [13] γὰρ ἔθεσαν ἄνθρωποι αὐτοὶ ἑωυτοῖσιν, οὐ γινώσκοντες περὶ ὧν ἔθεσαν· φύσιν [14] δὲ πάντων θεοὶ διεκόσμησαν· ἃ μὲν οὖν ἄνθρωποι ἔθεσαν, οὐδέκοτε κατὰ τωὐτὸ ἔχει οὔτε ὀρθῶς οὔτε μὴ ὀρθῶς· [15] ὁκόσα δὲ θεοὶ ἔθεσαν, αἰεὶ ὀρθῶς ἔχει· καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθὰ τοσοῦτον διαφέρει.

[1] Ηεριου (sic) ἀφανέος θ, Mack. – περὶ οὐκ (οὗ EHK, Ald.; τοῦ pro οὐκ Zwing., Lind.) ἀφανέος (ἀμφανέος J) vulg. — [2] σ. EHIJKθ. – φερβόμενα Lind. – πάντα om. θ. – εἰς EH. – ἕκαστον θ. — [3] π. om., restit. al. manu H. – τούτων θ. – παιρενούσας θ. – ἔσω (bis) Lind. — [4] εἰς E. – πρὸς θ. – ἐπιφορὰν θ. – ἄστρον θ. — [5] κρατέει θ. – διέποντα πάντα H. – ἕκαστα pro πάντα θ. — [6] ἀοικτον (sic) θ. – ἄψοφον vulg. – ἄψυρον (sic) L. – ψυχῆς EHKP'Q'. – νοῦς θ. – κίν., μ.. διάλλαξις om. θ. – διάταξις FGIJ. – ἔγερσις θ. — [7] καὶ om. FGIJ. – οὐδέποτε GIJKθ. – ἀτρεμίζον Zwing., Lind., Mack. – ἀτρεμίζων vulg. (H, al. manu ἀτρεμίζει). – ἀτρεμέει EKQ'. – ἀτρεμίζει FG. – ἀτρεμέος ἥστανται (sic) al. manu J. — [8] ἀφανέα θ. – ἀφανῆ vulg. — [9] θεῷ GIJK, Ald. – ὅσων pro θεῶν θ. – ἑωυτῶν EHIJθ, Mack. – ἑαυτῶν vulg. – γινώσκοντες E. – γιγνώσκοντας (bis) θ. — [10] οὐ om. G. — [11] πάντα καὶ (καὶ om. θ) (καὶ πάντα, al. manu πάντα καὶ H) διάφορα vulg. – ὑπεναντίον vulg. – ὑπεναντίων E. – ὑπεναντίος θ. — [12] φύσις ELθ, Zwing., Lind., Mack. – φύσιος vulg. – διαπρησσόμεθα θ, Zwing. in marg. – διαπρησσόμενα vulg. – διαπρασσόμενα EHJK. – ὁμολογού-

d'eau ténue et de feu aérien, visible et invisible, séparation du feu concrété; où toute chose portée arrive à manifestation suivant la portion destinée. Là il a créé trois circulations du feu arrivant l'une à l'autre en dedans et en dehors : les unes, vers les cavités des humeurs, représentent la propriété de la lune; les autres, vers la surface extérieure, vers la concrétion ambiente, représentent la propriété des astres; les dernières sont intermédiaires, allant en dedans et en dehors. Le feu le plus chaud et le plus fort, qui surmonte tout, réglant tout selon la nature, étant inaccessible et à la vue et au toucher, c'est là qu'est l'âme, l'entendement, la pensée, la croissance, le mouvement, la décroissance, la permutation, le sommeil, le réveil; il gouverne tout incessamment, et ceci et cela, sans jamais se reposer.

11. (*Les hommes ne savent pas comprendre cette similitude de la nature universelle avec la nature de l'homme.*) Mais les hommes ne savent pas, par les choses apparentes, voir les choses latentes; en effet, employant des arts semblables à la nature humaine, ils ne s'en aperçoivent pas. L'intelligence des dieux leur a enseigné à imiter les opérations divines; et, sachant ce qu'ils font, ils ne savent pas ce qu'ils imitent. Tout est semblable, étant dissemblable; tout est convergent, étant divergent, parlant et non parlant, intelligent et inintelligent; le mode de chaque chose est contraire, étant concordant. Car l'usage et la nature, par lesquels nous opérons tout, ne s'accordent pas, s'accordant; l'usage, ce sont les hommes qui l'ont établi pour eux-mêmes, ne sachant pas sur quoi ils statuaient; la nature des choses, ce sont les dieux qui l'ont ordonnée. Ce que les hommes ont statué, ne demeure jamais au même point, soit bon soit mauvais; mais ce que les dieux

μενα θ. — [13] μὲν pro γὰρ EHP'Q'θ, Zwing., Lind., Mack. – μὲν γὰρ I. – ἄνθρωποι ἔθεσαν θ. — [14] δὴ EIJ, Ald. – πάντων EHθ, Mack. – πάντες vulg. – θεὸς διεκόσμησεν, mut. al. manu in θεοὶ διεκόσμησαν θ. – ἃ J. – τὰ pro ἃ vulg. – διέθεσαν θ. – οὐδέκοτε EH. – οὐδέποτε vulg. – τὸ ὡυτὸν (ἑωυτὸν GKJ; ὡυτὸ Lind., Mack) vulg. – τωὐτὸ θ. — [15] ὅσα θ. – θεοὶ δὲ GH (I, δὴ) K, Ald. – ὅσοι pro θεοὶ θ. – διέθεσαν Jθ. – αἰεὶ θ, Lind., Mack. – ἀεὶ vulg.

12. Ἐγὼ [1] δὲ δηλώσω τέχνας φανερὰς ἀνθρώπου παθήμασιν ὁμοίας ἐούσας καὶ φανεροῖσι καὶ ἀφανέσι. Μαντικὴ τοιόνδε· [2] τοῖσι φανεροῖσι μὲν τὰ ἀφανέα γινώσκειν, καὶ τοῖσιν ἀφανέσι τὰ φανερὰ, καὶ τοῖσιν ἐοῦσι τὰ μέλλοντα, [3] καὶ τοῖσιν ἀποθανοῦσι τὰ ζῶντα, καὶ τῶν ἀσυνέτων ξυνίασιν, ὁ μὲν εἰδὼς ἀεὶ ὀρθῶς, ὁ δὲ μὴ εἰδὼς ἄλλοτε [4] ἄλλως. Φύσιν ἀνθρώπου καὶ βίον ταῦτα μιμέεται· ἀνὴρ γυναικὶ [5] ξυγγενόμενος παιδίον ἐποίησε, τῷ φανερῷ τὸ ἄδηλον γινώσκειν, ὅτι οὕτως ἔσται. Γνώμη ἀνθρώπου ἀφανὴς, γινώσκουσα τὰ φανερὰ, ἐκ παιδὸς [6] ἐς ἄνδρα μεθίσταται, τῷ ἐόντι τὸ μέλλον γινώσκειν, [7] οὐχ ὁ μὴ ὢν ἀπὸ θανάτου, ζῶον δὲ, τῷ τεθνηκότι τὸ ζῶον οἶδεν. Ἀσύνετον [8] γαστήρ· ταύτῃ συνίεμεν ὅτι διψῇ ἢ πεινῇ. Ταῦτα μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα, τοῖσι μὲν [9] γινώσκουσιν αἰεὶ ὀρθῶς, τοῖσι δὲ μὴ γινώσκουσιν αἰεὶ ἄλλοτε [10] ἄλλως.

13. Σιδήρου ὄργανα· τέχνῃσι τὸν σίδηρον περιτήκουσι, πνεύματι ἀναγκάζοντες τὸ πῦρ, τὴν ὑπάρχουσαν τροφὴν [11] ἀφαιρέοντες, ἀραιὸν δὲ ποιήσαντες, παίουσι καὶ συνελαύνουσιν, ὕδατος δὲ ἄλλου τροφῇ ἰσχυρὸν γίνεται. Ταῦτα πάσχει ἄνθρωπος ὑπὸ παιδοτρίβου· τὴν ὑπάρχουσαν τροφὴν πυρὶ ἀφαιρέεται, ὑπὸ πνεύματος [12] ἀναγκαζόμενος· ἀραιούμενος δὲ κόπτεται, τρίβεται, καθαίρεται, ὑδάτων δὲ ὑπαγωγῇ ἄλλοθεν ἰσχυρὸς γίνεται.

[1] Δὲ θ, Zwing., Lind., Mack. – δὲ om. vulg. – φανεροῖς θ. — [2] τοῖσι μὲν φανεροῖσι θ. – γινώσκει Εθ. – καὶ EGHIJQθ, Lind. – καὶ om. vulg. — [3] καὶ θ. – καὶ om. vulg. – ξυνίασιν θ. – σ. vulg. – συνιᾶσιν Lind. – Le sens de ce membre de phrase est déterminé par ce qui est dit un peu plus bas : ἀσύνετον γαστήρ· ταύτῃ συνίεμεν κτλ. – αἰεὶ Lind. — [4] ἄλλας E. – καὶ οἷον vulg. – καθ' οἷον Lind. – καὶ ὡς οἷόν τε K'. – καὶ βίον θ, Mack. – γυναικὸς FG. — [5] συγγ. EHIJKθ. – ἐποίεε vulg. – ἐποιέετο E. – ἐποίησε θ, Mack. – τῷ om. E. – γινώσκει θ, Mack. – γινώσκων Lind. — [6] ἐς EH, Mack. – εἰς vulg. – γινώσκει vulg. – γινώσκειν EK. — [7] οὐχ ὅμοιον ἀποθανάτου (ἀπὸ θανάτου EGHJ, Ald., Lind.; ἀποθανὼν θ, Mack) ζώοντι (ζῶντι θ), τῷ τεθνηκότι τὸ ζῶον οἶδε (οἶδεν τὸ ζῶον θ) vulg. – Le texte de vulg. est peut-être fort altéré; dans tous les cas il est fort obscur. J'en ai essayé la restitution en me réglant sur le développement du raisonnement de l'auteur : τὰ ἀφανέα τοῖσι φανεροῖσι, exemple: l'enfant que crée le rapprochement des sexes; τὰ φανερὰ τοῖσιν ἀφανέσι et τὰ μέλλοντα τοῖσιν ἐοῦσιν, c'est l'intelligence invisible de l'homme qui passe de l'enfance à la virilité; τὰ ζῶντα τοῖσιν ἀποθανοῦσι, c'est la phrase dont je tente l'explication; enfin τῶν ἀσυνέτων συνίασιν, c'est le ventre qui ne comprend pas et qui nous fait comprendre la faim et la soif. — [8] ἡ γαστὴρ K'. – παθήματα θ. — [9] γιγνώσκουσιν ἀεὶ (bis) θ. – ἀεὶ Ald., Frob., Lind. — [10] ἄλλη G. – τέχνης vulg. – τέχνῃσι θ. — [11] ἀφαι-

ont statué demeure éternellement bien. Telle est la différence entre ce qui est bien et ce qui n'est pas bien.

12. (*Exemples, singulièrement choisis pour la plupart, par lesquels l'auteur prétend démontrer que les arts de l'homme ne sont qu'une imitation ou un reflet des arts naturels ou fonctions du corps vivant. Premier exemple : la divination.*) Je vais montrer des arts qui sont évidemment semblables aux affections des hommes, manifestes et cachées. La divination est dans ce cas ; elle veut connaître les choses cachées par les choses apparentes, et les choses apparentes par les choses cachées, l'avenir par le présent, le vivant par le mort, et l'intelligence par ce qui ne comprend pas ; celui qui sait est toujours dans le vrai ; celui qui ne sait pas dit tantôt d'une façon et tantôt d'une autre. C'est là copier la nature et la vie de l'homme ; un homme, s'approchant d'une femme, a fait un enfant ; par la chose manifeste on connaît la chose obscure, c'est-à-dire qu'il en sera ainsi. L'intelligence invisible de l'homme, laquelle connaît le visible, se change d'enfant en homme ; par le présent on connaît l'avenir. Ce n'est pas le non-existant qui provient de la mort, c'est le vivant ; par le mort on connaît le vivant. Le ventre ne comprend pas ; mais par le ventre nous comprenons la soif et la faim. Voilà les œuvres de l'art divinatoire et les affections de la nature humaine ; pour ceux qui connaissent, régularité constante ; pour ceux qui ne connaissent pas, irrégularité tantôt d'une façon, tantôt d'une autre.

13. (2e *Exemple : fabrication du fer.*) Instruments de fer : par des procédés on fond le fer, forçant le feu par l'air, ôtant le fonds présent de nourriture et raréfiant le métal, on bat, on rapproche, et il devient fort par l'aliment qu'une autre eau fournit. C'est le traitement de l'homme par le maître de gymnase ; il est dépouillé du fonds présent de nourriture par le

ῥέονται θ. – συνελαύουσι H. – τροφὴ EI. — [12] ἀναγκαζομένου θ. – ἀραιούμενα sine δὲ θ. – καθαίρεται EGHIJKθ. – καθαιρέεται vulg. – ὑπὸ τῶνδε pro ὑδάτων δὲ θ. – ὑπαγωγὴ HJ. – ἐπαγωγῇ θ, Zwing. in marg.

14. Καὶ οἱ γναφέες [1]τωὐτὸ διαπρήσσονται, λακτίζουσι, κόπτουσιν, ἕλκουσι, [2]λυμαινόμενοι ἰσχυρότερα ποιέουσι, κείροντες τὰ ὑπερέχοντα, καὶ παραπλέκοντες, καλλίω ποιέουσι· ταῦτα πάσχει ὥνθρωπος.

15. Σκυτέες [3]τὰ ὅλα καὶ τὰ μέρεα διαιρέουσι, καὶ τὰ μέρεα ὅλα ποιέουσι, τάμνοντες δὲ καὶ κεντέοντες τὰ σαθρὰ ὑγιέα ποιέουσιν. Καὶ ἄνθρωπος δὲ [4]τωὐτὸ πάσχει· ἐκ τῶν ὅλων μέρεα διαιρέεται, καὶ ἐκ τῶν μερέων συντιθεμένων ὅλα γίνεται· κεντεόμενοί τε καὶ τεμνόμενοι τὰ [5]σαθρὰ ὑπὸ τῶν ἰητρῶν ὑγιαίνονται· καὶ τόδε ἰητρικῆς τὸ λυπέον ἀπαλλάσσειν, καὶ ὑφ' οὗ πονέει ἀφαιρέοντα ὑγιέα ποιέειν. Ἡ φύσις αὐτομάτη ταῦτα ἐπίσταται· καθήμενος πονέει ἀναστῆναι, [6]κινεύμενος πονέει ἀναπαύσασθαι, καὶ ἄλλα τοιαῦτα ἔχει ἡ φύσις ἰητρικῆς.

16. Τέκτονες πρίοντες ὁ μὲν ὠθέει, ὁ δὲ ἕλκει· [7]τὸ αὐτὸ ποιέειν ἀμφοτέρως φέρει· τρυπῶσιν, ὁ μὲν ἕλκει, ὁ δὲ ὠθέει· [8]πιεζόντων ἄνω ἕρπει, τὸ δὲ κάτω· [9]μείω ποιέοντες πλείω ποιέουσι, καὶ πλείω ποιέοντες μείω ποιέουσι, φύσιν [10]τε ἀνθρώπου μιμέονται. Πνεῦμα τὸ μὲν ἕλκει, τὸ δὲ ὠθέει, τὸ δ' αὐτὸ [11]ποιέειν ἀμφοτέρως φέρει· σίτων τὰ μὲν κάτω πιέζεται, τὰ δὲ ἄνω ἕρπει. Ἀπὸ [12]μιῆς ψυχῆς διαιρεομένης πλείους καὶ μείους καὶ [13]μέζονες καὶ ἐλάσσονες.

[1] Τὸ ὠυτὸ vulg. – τωυτὸ H. – τοῦτο θ. – τὸ αὐτὸ GJ. – τὸ αὐτὸ αὐτὸ K. – Post λακτ. addit παίουσι λυμαινόμενοι (πλυνόμενοι Zwing. in marg., Lind., Mack) vulg. – παίουσι λυμαινόμενοι om. θ. — [2]πλυνόμενοι Lind., Mack. – κείροντες.... ποιέουσι om. G. – ὥνθρωπος EH. – ὁ (ὁ om. θ) ἄνθρωπος vulg. — [3]τὰ ὅλα κατὰ (καὶ τὰ E) μέρεα διαιρέοντες (διαιρέουσι EKQ', Mack) τέμνοντες (τάμνοντες EGIJK) vulg. – τὰ ὅλα καὶ τὰ μέρη (μέρεα H) διαιρέουσι καὶ τὰ μέρεα ὅλα (ὅλα om. H) ποιέουσι τέμνοντες (τάμνοντες H) θ. — [4]τὸ ὠυτὸ vulg. – τωυτὸ H, Lind. – τὸ αὐτὸ EGIJK. – ταῦτα θ. – Ante ὅλων addit γὰρ Lind. – γίγνεται θ. – κεντούμενοι θ. – δὲ pro τε θ. — [5]σεσηπότα J. – σεσηπόμενα FG. – ὑγιαίνονται καὶ ζώει (ζώη H)· ἰητρικὴ vulg. – ὑγιαίνονται· καὶ τόδε ἰητρικῆς θ. – ἀπαλλάσσειν θ. – ἀπαλλάσσει vulg. – ἀπαλάσσει E. – ἀφαιρέουσα Zwing. in marg., Lind., Mack. – ποιέειν θ. – ποιεῖν vulg. – ποιεῖ Lind., Mack. – Quid enim aliud prestat medicina quam nisi quod contrarium est et quod dolorem facit auferat et salvum faciat hominem? Cod. Lat. — [6]κινούμενος J. – τὰ ἄλλα τὰ τοιαῦτα sine καὶ θ. – ἡ om., restit. al. manu H. – ἰατρικῆς GIJ. — [7]τωυτὸ EHP'Q'θ, Lind., Mack. – ποιέει EHIJK. – ποιέοντες θ. – ἀφοτέρως (sic) I. – φέρει om. θ. – συμφέρει Zwing. in marg. — [8]πιεζόντων, πι syllaba erasa θ. – ὁ πιέζων τὸν ἄνω ἕλκει K', Mack. – τὸ μὲν ἄνω Zwing. in marg., Lind. — [9]μείον· οἷοι ἐόντες πλείω ποιέουσι vulg. – μείω

feu à l'aide de l'action violente de l'air; étant raréfié, il est frappé, frotté, purifié, et il devient fort par l'introduction d'eaux venant d'ailleurs.

14. (3[e] *Exemple : les foulons.*) Les foulons font la même chose, ils foulent avec les pieds, battent, tirent; par ce dommage ils donnent à l'étoffe plus de force; rasant ce qui dépasse et entrelaçant, ils la rendent plus belle. L'homme en offre autant.

15. (4[e] *Exemple : les cordonniers.*) Les cordonniers divisent le tout et la partie, avec les parties font des touts; coupant et piquant, ils rendent sain ce qui est usé. Il en est de même pour l'homme; chez lui le tout devient partie, et les parties recomposées deviennent un tout; piqué et coupé, ce qui est usé est guéri par les médecins; le propre de la médecine est de délivrer de ce qui fait mal, et, enlevant la cause de la souffrance, rendre la santé. La nature fait cela par elle-même. Assis, on veut se lever; en mouvement, on veut se reposer, et tant d'autres choses que la nature a comme la médecine.

16. (5[e] *Exemple : les charpentiers.*) Les charpentiers scient: l'un pousse, l'autre tire; des deux façons c'est faire la même chose; ils perforent, l'un tire, l'autre pousse; la pression fait aller ceci en haut, cela en bas; diminuant, ils augmentent; augmentant, ils diminuent; et ils imitent la nature de l'homme. Le souffle d'un côté tire, de l'autre pousse; des deux façons c'est faire la même chose: des aliments, une partie est poussée en bas, une autre marche en haut. D'une seule âme partagée en viennent plusieurs et plus petites et plus grandes et moindres.

(μεῖον Zwing., Lind., Mack) πλείω ποιέουσι θ. – Minuentes majus faciunt et majus facientes minuunt Cod. Lat. – Ce texte du ms. latin m'a déterminé à ajouter καὶ πλείω ποιέοντες μείω ποιέουσι, qui manque partout ailleurs et qui est si conforme à la phraséologie de cet auteur. — [10] τε om. Kθ. – Ante πνεῦμα addit τὸ θ. – τωυτὸ pro τὸ δ' αὐτὸ θ. — [11] ποιέει θ. – Post π. addunt καὶ EHK. – ἀμφοτέρω K'. – φέρει· σίτων om. θ. – πιέζηται θ. — [12] μιᾶς θ. – διερευμένη θ. – μείζους pro μείους E. — [13] μείζονες θ.

17. Οἰκοδόμοι ἐκ διαφόρων [1]σύμφορον ἐργάζονται, τὰ μὲν ξηρ ὑγραίνοντες, τὰ δὲ ὑγρὰ ξηραίνοντες, τὰ μὲν [2]ὅλα διαιρέοντες, τι δὲ διῃρημένα συντιθέντες· μὴ οὕτω δὲ ἐχόντων οὐκ ἂν ἔχοι [3]ᾗ δεῖ Δίαιταν ἀνθρωπίνην μιμέεται, τὰ μὲν ξηρὰ ὑγραίνοντες, τὰ δὲ ὑγρ ξηραίνοντες, τὰ μὲν ὅλα διαιρέουσι, τὰ δὲ διῃρημένα [4]ξυντιθέασι ταῦτα πάντα διάφορα ἐόντα [5]ξυμφέρει τῇ φύσει.

18. Μουσικῆς ὄργανον ὑπάρξαι δεῖ πρῶτον, ἐν ᾧ δηλώσει βούλεται [6]ἁρμονίη· συντάξιες ἐκ τῶν αὐτῶν οὐχ αἱ αὐταὶ, ἐκ το ὀξέος, [7]ἐκ τοῦ βαρέος, ὀνόματι μὲν ὁμοίων, φθόγγῳ δὲ οὐχ ὁμοίων τὰ πλεῖστα διάφορα [8]μάλιστα ξυμφέρει, καὶ τὰ ἐλάχιστα διάφορ ἥκιστα ξυμφέρει· [9]εἰ δὲ ὅμοια πάντα ποιήσει τις, οὐκ ἔνι τέρψις αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται μάλιστα τέρπουσιν. Μά γειροι ὄψα σκευάζουσιν [10]ἀνθρώποισι διαφόρων, συμφόρων, παντο δαπὰ [11]ξυγκρίνοντες, ἐκ τῶν αὐτῶν οὐ [12]τὰ αὐτὰ, βρῶσιν καὶ πόσι ἀνθρώπων· ἢν δὲ πάντα ὅμοια ποιήσῃ, οὐκ ἔχει τέρψιν· [13]οὐδ' εἰ ἐ τῷ αὐτῷ πάντα ξυντάξειεν, οὐκ ἂν ἔχοι ὀρθῶς. Κρούεται τὰ κρού ματα ἐν μουσικῇ τὰ μὲν ἄνω, τὰ δὲ κάτω. Γλῶσσα μουσικὴν μι μέεται διαγινώσκουσα μὲν τὸ γλυκὺ καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων καὶ [14]τὰ διάφωνα καὶ ξύμφωνα· κρούεται δὲ τοὺς φθόγγους ἄνω κα κάτω, καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα ὀρθῶς ἔχει, οὔτε τὰ [15]κάτ ἄνω· καλῶς δὲ ἡρμοσμένης γλώσσης, τῇ συμφωνίῃ τέρψις, ἀναρ μόστου δὲ λύπη.

19. [16]Νακοδέψαι τείνουσι, τρίβουσι, κτενίζουσι, πλύνουσι, ταῦτ παιδίων θεραπηΐη. Πλοκέες ἄγοντες κύκλῳ πλέκουσιν, ἀπὸ τῆ

[1] Σ. om. θ. – ἐργάζοντες EFGHIK, Ald., Zwing., Lind., Mack. — [2] ἄλλ EG (H, al. manu) KP'Q'. — [3] ἰδίως vulg. – ηδει (sic) θ. – Lisez ᾗ δεῖ; c'est l vraie leçon au lieu de ἰδίως. – μιμέονται K', Zwing. in marg., Lind., Mack – ἄλλα pro ὅλα E (H, al. manu) P'Q'. — [4] ξ. θ. – σ. vulg. — [5] σ. EHIK. – τ φύσει om. θ. — [6] ἁρμονίην E (H, al. manu) K. – ἁρμονίης σύνταξις θ. – συν τάξιας EK. – ἑαυταὶ pro αἱ αὐταὶ K. — [7] καὶ ἐκ θ, Mack. – φθόγγων θ. – ὁμοία E. — [8] μᾶλλον E. – συμφ. (bis) EHJK. – τὰ δὲ pro καὶ τὰ EHKP'Q'θ. — [9] τ pro εἰ θ. – ποιήσει EGHIJKθ, Frob., Mack. – ποιήσῃ vulg. – ἔτι pro ἔνι θ. πολυειδέστατοι EK. — [10] ἀνθρώποισι ἐκ (ἐκ om. EFGIJK, Ald.) διαφόρω παντοδαπὰ vulg. – ἀνθρώποισι διαφόρων συμφόρων παντοδαπὰ θ. — [11] σ. El θ. — [12] τὰ ὡυτὰ vulg. – τὰ αὐτὰ E (H, al. manu) K. – τὰ ἑωυτὰ G. – τὠυτὰ I – ταῦτα θ. – ἀνθρώπῳ θ. – εἰ θ. – ποιήσει θ. – ποιήσωσιν Mack. — [13] εἰ δ' εἰ, a manu οὐδ' εἰ E. – τῷ EHKθ, Mack. – τῷ om. vulg. – συνταράξειεν EHIJKI Q'. — [14] τὰ om. EGHIKθ, Ald. – καὶ ξύμφωνα θ, Mack. – καὶ ξ. om. vulg. –

17. (6[e] *Exemple : Les constructeurs de maisons.*) Les constructeurs de maisons font de choses différentes quelque chose de concordant, humectant ce qui est sec, séchant ce qui est humide, divisant ce qui est entier, composant ce qui est divisé ; autrement, le but ne serait pas atteint. C'est imiter le régime de l'homme, où l'on humecte ce qui est sec, sèche ce qui est humide, divise ce qui est entier, compose ce qui est divisé ; tout cela, étant différent, s'accorde pour la nature humaine.

18. (7[e] *Exemple : les musiciens et les cuisiniers.*) Pour la musique il faut d'abord avoir un instrument dans lequel l'harmonie montrera ce qu'elle veut : accords qui, venant des mêmes, ne sont pas les mêmes, formés de l'aigu, du grave, semblables de nom, dissemblables de son ; plus il y a de différence, plus il y a d'accord ; moins il y a de différence, moins il y a d'accord ; si l'on faisait tout uniforme, le plaisir cesserait ; les changements les plus grands et les plus variés sont ce qui plaît le plus. Les cuisiniers préparent des mets avec des substances différentes, concordantes ; ils mêlent les choses de toute espèce ; les mêmes deviennent autres ; c'est le manger et le boire des hommes ; si tout était uniforme, le plaisir cesserait ; si tout était mis ensemble, cela ne serait pas bien. Dans la musique les sons se frappent les uns en haut, les autres en bas. La langue imite la musique, distinguant le doux et l'acide de ce qui lui arrive, ce qui est en accord et ce qui est en désaccord ; elle frappe les sons en haut et en bas ; et ni les sons du haut frappés en bas ne sont justes ni les sons du bas frappés en haut ; la langue étant bien réglée, l'harmonie plaît, et déplaît la langue n'étant pas réglée.

19. (8[e] *Exemple : les corroyeurs et les tisserands.*) Les corroyeurs tendent, frottent, brossent, lavent ; c'est le traitement qu'on fait aux enfants. Les tisserands procèdent circu-

[15] ἄνω κάτω θ. – δ' ΕΗθ. – διηρμοσμένης pro δὲ ἡρμ. Κ. – γλώσσης ΕΗΚ. – γλώττης vulg. – τῇ συμφωνίῃ θ. – τῆς συμφωνίης vulg. — [16] νακοδέψαι θ. – σκυτοδέψαι vulg. – θεραπείῃ θ. – πλοκεῖς θ.

ἀρχῆς [1]ἐς τὴν ἀρχὴν τελευτῶσι· τοῦτο περίοδος ἐν τῷ σώματι, ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ.

20. Χρυσίον [2]ἐργάζονται, κόπτουσι, πλύνουσι, τήκουσι πυρ μαλακῷ, ἰσχυρῷ [3]δὲ οὐ συνίσταται· ἀπεργασάμενοι πρὸς πάντα χρῶνται· ἄνθρωπος σῖτον κόπτει, πλύνει, ἀλήθει, πυρώσας χρῆται· ἰσχυρῷ μὲν πυρὶ ἐν τῷ σώματι οὐ συνίσταται, [4]μαλθακῷ δέ.

21. Ἀνδριαντοποιοὶ μίμησιν σώματος ποιέουσιν πλὴν ψυχῆς γνώμην [5]δὲ ἔχοντα οὐ ποιέουσιν, ἐξ ὕδατος καὶ γῆς, τὰ ὑγρὰ ξηραίνοντες [6]καὶ τὰ ξηρὰ ὑγραίνοντες, ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων [7]καὶ προστιθέασι πρὸς τὰ ἐλλείποντα, ἐκ τοῦ ἐλαχίστου [8]πρὸς τ μέγιστον αὔξοντες. Ταῦτα πάσχει ὁ ἄνθρωπος, αὔξεται [9]ἀπὸ το ἐλαχίστου ἐς τὸ μέγιστον, ἐκ τῶν ὑπερεχόντων ἀφαιρούμενος τοῖσιν ἐλλείπουσι προστιθεὶς, τὰ ξηρὰ ὑγραίνων [10]καὶ τὰ ὑγρὰ ξηραίνων.

22. Κεραμέες τροχὸν δινέουσι, καὶ οὔτε ὀπίσω οὔτε πρώσω προχωρέει, [11]καὶ ἀμφοτέρωσε ἅμα τοῦ ὅλου μιμητὴς τῆς περιφορῆς· ἐν δὲ τι αὐτῷ [12]ἐργάζονται περιφερομένῳ παντοδαπὰ, οὐδὲν ὅμοιον τὸ ἕτερο τῷ ἑτέρῳ ἐκ τῶν αὐτῶν [13]τοῖσιν αὐτοῖσιν ὀργάνοισιν. Ἄνθρωπι ταῦτα πάσχουσι καὶ τἄλλα ζῶα, ἐν τῇ αὐτῇ [14]περιφορῇ πάντα ἐργάζονται, ἐκ τῶν αὐτῶν ὅμοιον οὐδὲν τοῖσιν αὐτοῖσιν ὀργάνοισιν, ἐ ὑγρῶν ξηρὰ ποιέοντες καὶ ἐκ τῶν ξηρῶν ὑγρά.

23. Γραμματικὴ [15]τοιόνδε· σχημάτων σύνθεσις, σημήϊα φωνῆ ἀνθρωπίνης, δύναμις τὰ παροιχόμενα μνημονεῦσαι, τὰ ποιητέ δηλῶσαι· [16]δι' ἑπτὰ σχημάτων ἡ γνῶσις· ταῦτα πάντα ἄνθρωπο [17]διαπρήσσεται καὶ ὁ ἐπιστάμενος γράμματα καὶ ὁ μὴ ἐπιστάμενο

[1] Ἐς E, Lind., Mack. – εἰς vulg. – ὁπόθεν GIJ. – ἐπὶ τούτω H. — [2] ἐργαζό μενοι Lind. – μαλθακῷ Lind. — [3] δ' EHKθ. – συνίσταται θ, Lind., Mack. συνίστανται vulg. – ἀπειργασμένοι θ. – ἀπεργασεύμενοι FG. – χρῶνται om. (— [4] μαλακῶ EFIθ. – τοῦ σώματος K. — [5] δ' EHK. – δέχονται pro δὲ ἔχοντα ο θ. — [6] καὶ τὰ ξηρὰ ὑγραίνοντες θ, Zwing. in marg., Mack. – καὶ τα ξ. ὑ om. vulg. — [7] καὶ om. (H, restit. al. manu) θ. – πρὸς τὰ ἐλλείποντα προστ θέασι θ. — [8] ἐς τὸ μήκιστον θ. – καὶ pro ὁ EHIJKθ. — [9] ἐκ HKθ. — [10] καὶ om J. – κεραμεῖς θ. – δεινοῦσι θ. – καὶ οὔτε πρόσω οὔτε ὀπίσω προχωρέει θ. – χω ρεῖ vulg. – χωρέει EHKQ', Mack. — [11] καὶ om. θ. – ἀμφοτέρως θ. – ἀμφοτέρος J. – ὅλου ἀπομιμα (sic) τῆς περιφορῆς θ. – ὅλου μιμητὴς περιφερὴς vulg. – [12] Post ἐργ. addit εἴδη vulg. (ἤδη Ald.). – εἴδη om. (H, restit. al. manu) (– περιφερομένω θ. – περιφερομένων vulg. — [13] τοῖσιν αὐτοῖσιν ὀργάνοισιν θ. τ. αὐτ. ὀργ. om. vulg. — [14] περιφορᾶ θ. – οὐδὲν ὅμοιον EHIJθ. — [15] τοιῶνδ

airement, tissent et finissent de bout en bout; c'est la circulation dans le corps; elle vient finir là où elle commence.

20 (9e *Exemple : les orfèvres.*) Ceux qui travaillent l'or le battent, le lavent, le fondent à un feu doux; à un feu ardent l'or ne prend pas; l'ayant élaboré, ils s'en servent pour toute chose. Ainsi l'homme bat le grain, le lave, le moud; l'ayant passé au feu, il s'en sert; le grain, à un feu ardent, ne prend pas dans le corps, mais il prend à un feu doux.

21. (10e *Exemple : les statuaires.*) Les statuaires font la copie du corps moins l'âme; ils ne produisent rien qui ait l'intelligence; leurs matériaux sont l'eau et la terre; séchant ce qui est humide, humectant ce qui est sec, ils enlèvent à ce qui est en excès, ils ajoutent à ce qui est en défaut, faisant croître leur création du plus petit au plus grand. L'homme en offre autant; il croît du plus petit au plus grand, enlevant à ce qui est en excès, ajoutant à ce qui est en défaut, humectant ce qui est sec, séchant ce qui est humide.

22. (11e *Exemple : les potiers.*) Les potiers tournent la roue, qui ne se porte ni en arrière ni en avant, et qui en même temps imite la rotation de l'univers; dans cette même roue, qui se meut ainsi circulairement, ils exécutent les ouvrages les plus variés, dont aucun ne ressemble à l'autre, avec les mêmes matières et les mêmes instruments. Le même effet se produit chez les hommes et les autres animaux; dans la même rotation ils exécutent tout; et rien n'est semblable avec les mêmes matières et les mêmes instruments; avec l'humide ils font le sec, avec le sec ils font l'humide.

23. (12e *Exemple : la grammaire et les sens*). La grammaire présente ceci: composition des figures, signes de la voix humaine, propriété de rappeler le passé, de signaler ce qui est à faire; la connaissance est par sept figures; tout cela se fait par l'homme connaissant ou ne connaissant pas les lettres. Par

EK. – συνθέσεις θ. – σημεῖα EHθ. – ἀνθρωπίνης φωνῆς . — 16 Septem vel quinque litteris nota Cod. Lat. — 17 διαπράσσηται G.

Δι᾿ ἑπτὰ σχημάτων [1] καὶ ἡ αἴσθησις ἡ ἀνθρώπων, ἀκοὴ ψόφων, ὄψις φανερῶν, ῥὶν ὀδμῆς, γλῶσσα ἡδονῆς καὶ ἀηδίης, στόμα διαλέκτου, σῶμα ψαύσιος θερμοῦ ἢ [2] ψυχροῦ, πνεύματος διέξοδοι ἔσω καὶ ἔξω· διὰ τούτων γνῶσις ἀνθρώποισιν.

24. [3] Ἀγωνίη, παιδοτριβίη τοιόνδε· διδάσκουσι παρανομέειν κατὰ νόμον, ἀδικέειν δικαίως, ἐξαπατέειν, κλέπτειν, ἁρπάζειν, βιάζεσθαι [4] τὰ κάλλιστα καὶ αἴσχιστα· ὁ μὴ ταῦτα ποιέων κακὸς, ὁ δὲ ταῦτα ποιέων ἀγαθός· ἐπίδειξις [5] τῶν πολλῶν ἀφροσύνης, θεῶνται ταῦτα καὶ κρίνουσιν ἕνα ἐξ ἁπάντων ἀγαθὸν, τοὺς δὲ ἄλλους κακούς· πουλλοὶ θαυμάζουσιν, ὀλίγοι γινώσκουσιν. [6] Ἐς ἀγορὴν ἐλθόντες ἄνθρωποι ταὐτὰ διαπρήσσονται· ἐξαπατῶσι πωλέοντες καὶ ὠνεόμενοι· ὁ πλεῖστα ἐξαπατήσας, οὗτος θαυμάζεται. Πίνοντες καὶ μαινόμενοι [7] ταὐτὰ διαπρήσσονται. Τρέχουσι, παλαίουσι, μάχονται, κλέπτουσιν, ἐξαπατῶσιν, εἷς ἐκ πάντων κρίνεται. [8] Ὑποκριταὶ καὶ ἐξαπάται, πρὸς εἰδότας λέγουσιν ἄλλα καὶ φρονέουσιν ἕτερα, οἱ αὐτοὶ ἐξέρπουσι καὶ [9] ἐσέρπουσιν οὐχ οἱ αὐτοί· ἐνὶ δὲ ἀνθρώπῳ ἄλλα μὲν λέγειν, ἄλλα δὲ ποιέειν, καὶ τὸν αὐτὸν μὴ εἶναι τὸν αὐτὸν, [10] καὶ ποτὲ μὲν ἄλλην ἔχειν γνώμην, [11] ὁτὲ δὲ ἄλλην. Οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ φύσει ἐπικοινωνέουσιν.

25. Ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου, ὥσπερ μοι καὶ [12] προείρηται, σύγκρησιν ἔχουσα πυρὸς καὶ ὕδατος, μέρεα δὲ ἀνθρώπου, ἐσέρπει ἐς ἅπαν ζῶον, ὅ τι περ ἀναπνέει, καὶ δὴ [13] καὶ ἐς ἄνθρωπον πάντα καὶ νεώτερον καὶ πρεσβύτερον. Αὔξεται δὲ οὐκ ἐν πᾶσιν ὁμοίως;

[1] Καὶ om. GI. – αἱ αἰσθήσεις ἀνθρώπων θ. – ἀνθρωπείη EQ'. – ψόφους θ. – φανερῶ θ. – ῥῖνες θ. — [2] ξηροῦ IJ. – ἔξω καὶ εἴσω EHθ. – ἀνθρώποισι γνῶσις θ. — [3] ἀγνωσίη, παιδοτριβίη θ. – παιδοτρίβαι vulg. – Le Cod. Lat. a lu auss παιδοτριβίη, car il met : studium litterarum et exercitium tale est. – τοιόνδε Eθ. – τοιὸν vulg. – ἀδικαίειν EHK. – ἐξαπατᾶν θ. — [4] τὰ αἴσχιστα καὶ κάλλιστα θ. — [5] τῆς τῶν E (H, al. manu). – ἀφροσύνη J. – ἓν EFGHIKθ. – κακῶς θ. – πολλοὶ HKθ, Zwing., Lind., Mack. – θωμάζουσιν θ. – θωυμάζουσιν Lind. – ὀλίγοι δὲ Lind., Mack. — [6] εἰς θ. – ταῦτα vulg. – ἐξ ἁπάντων εἰν (sic) ἄνθρωποι pro ἐξαπατῶσι θ. – Ante πωλ. addunt ἄνθρωποι EH. – πωλοῦντες κα ὠνεύμενοι θ. – θωμάζεται θ. — [7] ταῦτα vulg. — [8] ὑποκριτικὴ ἐξαπατᾶ· εἰδότας ἃ λέγουσιν ἀλλὰ καὶ φρονέουσιν· οἱ αὐτοὶ ἐσέρπουσι καὶ ἐξέρπουσι καὶ οὐχ οἱ αὐτοὶ θ. – ἐξαπᾶται G, Ald. — [9] ἐσέρπουσιν EHJ. – εἰσ. vulg. – ἔνι Zwing. Lind. – ποιεῖν EH. – ἀκούειν pro ποιεῖν θ. — [10] καὶ τότε μὲν ἄλλην τότε δὲ ἄλλην μὴ ἔχειν γνώμην θ. — [11] ὁτὲ δὲ ἄλλην om., restit. al. manu H. – ἄλλον, al. manu ην J. — [12] εἴρηται (H, al. manu προείρηται) θ. – σύγκρασιν E

sept figures est aussi la sensation humaine, l'ouïe pour les sons, la vue pour les objets visibles, le nez pour l'odeur, la langue pour les saveurs agréables ou désagréables, la bouche pour l'articulation, le corps pour le tact du chaud ou du froid, voies du souffle au dedans et au dehors; c'est par là que les hommes ont la connaissance.

24. (*Treizième exemple : le gymnase, le marché, les comédiens. Singulière sortie contre l'éducation qu'on recevait dans les gymnases.*) Le gymnase et l'art d'y élever les enfants, voici ce que c'est : on y enseigne à se parjurer suivant la loi, à être injuste justement, à tromper, à voler, à ravir, à prendre de force ce qu'il y a de plus beau comme ce qu'il y a de plus laid; celui qui ne fait pas ainsi est mauvais, celui qui fait ainsi est bon; là se montre la déraison du vulgaire; on regarde cela, on choisit comme bon un d'entre tous, et l'on juge les autres mauvais; beaucoup admirent, peu connaissent. On vient au marché, et on en fait autant : on trompe en vendant et achetant; celui-là est admiré qui trompe le plus. Buvant et saisi de transport, on en fait autant. On court, on lutte, on combat, on vole, on trompe; un entre tous est choisi. Les comédiens et les trompeurs disent, devant des gens qui le savent, certaines choses et en ont d'autres dans l'esprit; ils sortent les mêmes et rentrent non les mêmes; seul l'homme peut dire une chose, en faire une autre, n'être pas le même en étant le même, et tantôt avoir une pensée, tantôt en avoir une autre. C'est ainsi que tous les arts participent à la nature humaine.

25. (*L'âme, mixture d'eau et de feu, se consume dans l'enfance et dans la vieillesse, et se multiplie dans l'âge adulte.*) L'âme humaine, comme je l'ai déjà dit, ayant une mixture de feu et d'eau, et des parties d'homme, pénètre en tout animal qui respire, par conséquent en tout homme jeune et vieux.

Hθ. – ἐκ πυρὸς E. – μέρεα θ. – μέρη HIJK, Zwing., Mack. – μέρει vulg. – μοῖραν Zwing. in marg. – Habet partes hominis Cod. Lat. – πᾶν θ. — [13] καὶ om. θ. – καὶ πρεσϐ. καὶ νεώτ. J.

ἀλλ' ἐν μὲν τοῖσι νέοισι τῶν σωμάτων, ἅτε [1]ταχείης ἐούσης τῆς περιφορῆς καὶ τοῦ σώματος ὄντος αὐξίμου, [2]ἐκπυρουμένη καὶ λεπτυνομένη καταναλίσκεται ἐς τὴν αὔξησιν τοῦ σώματος· ἐν δὲ τοῖσι πρεσβυτέροισιν, ἅτε [3]βραδέης ἐούσης τῆς κινήσιος καὶ δὴ ψυχροῦ τοῦ σώματος, καταναλίσκεται ἐς τὴν μείωσιν τοῦ ἀνθρώπου. [4]Ὁκόσα δὲ τῶν σωμάτων ἀκμάζοντά ἐστι καὶ ἐν τῇσιν ἡλικίῃσι τῇσι γονίμῃσι, δύναται τρέφειν καὶ αὔξειν· δυνάσται δὲ ἄνθρωποι· ὅστις δύναται πλείστους ἀνθρώπους τρέφειν, [5]οὗτος ἰσχυρός· ἀπολειπόντων δὲ τῶν παρ' αὐτοῦ τρεφομένων, οὗτος ἀσθενέστερος. [6]Τοιοῦτον καὶ ἕκαστα τῶν σωμάτων [7]πλεῖστα· ὁκοῖα [8]πλείστας δύναται ψυχὰς τρέφειν, ταῦτα ἰσχυρότερα, ἀπελθόντων δὲ τούτων ἀσθενέστερα.

26. Ὅ τι [9]μὲν ἂν ἐς ἄλλο ἐσέλθῃ, οὐκ αὔξεται· ὅ τι [10]δὲ ἐς τὴν γυναῖκα, αὔξεται, ἢν τύχῃ τῶν προσηκόντων. [11]Διακρίνεται δὲ τὰ μέλεα ἅμα πάντα καὶ αὔξεται, καὶ οὔτε πρότερον οὐδὲν ἕτερον ἑτέρου οὔθ' ὕστερον· τὰ δὲ μέζω φύσει [12]πρότερα φαίνεται τῶν ἐλασσόνων, οὐδὲν πρότερα γινόμενα. Οὐκ ἐν ἴσῳ δὲ χρόνῳ πάντα διακοσμέεται, ἀλλὰ τὰ μὲν θᾶσσον, τὰ δὲ βραδύτερον, ὅκως [13]ἂν καὶ τοῦ πυρὸς ἕκαστα τύχῃ [14]καὶ τῆς τροφῆς· τὰ μὲν οὖν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἴσχει πάντα φανερὰ, τὰ δ' ἐν δύο μησὶ, τὰ δ' ἐν τρισὶ, τὰ δ' ἐν τετραμήνῳ. [15]Ὡσαύτως καὶ γόνιμα γίνεται τὰ μὲν θᾶσσον ἑπτάμηνα τελείως, τὰ δὲ βραδύτερον ἐννέα μησὶ τελείως, [16]ἐς φάος ἀναδείκνυται ἔχοντα τὴν σύγκρησιν ἥνπερ καὶ διὰ παντὸς ἕξει.

[1] Παχείης J. – ταχίης θ. – ὄντος om. (H, restit. al. manu) θ. – αὐξίμου EHI Kθ, Zwing., Lind., Mack. – αὐξήμου vulg. — [2] ἐκπυρουμένη καὶ λεπτυνομένη θ, Mack. – ἐκπτερούμενα (ἐκπυρούμενα al. manu H; ἐκπερούμενα IJ; ἐκπεπταμένα Zwing. in marg.) καὶ λεπτυνόμενα vulg. — [3] βραδέης θ. – βραδείης vulg. – βραδίης EG, Frob. – δὴ om. θ. – καταναλίσκεσθαι θ. — [4] ὅσα θ. – ἐν om. θ. – ἡλικίοισι G. – γονίμοισι K. – αὔξειν· δυνάστης δὲ ἄνθρωπος θ. — [5] οὗτος om. θ. – τῶν παρ' αὐτοῦ τρεφομένων οὗτος om. (H, restit. al. manu) θ. — [6] τοιούτων I. – ὁκόι (sic) pro καὶ θ. — [7] πλεῖστα om. Mack. – D'après Mack πλεῖστα manque dans θ; ma collation ne le dit pas. — [8] πλείστας θ, Zwing., Mack. – πλεῖστα vulg. – ψυχὰς om. θ. – ἰσχυρότατα θ. – ἰσχυρότερον, al. manu ρα H. — [9] μὲν οὖν (post οὖν add. καὶ Ald.) ἄλλοσε (ἄλλος EG, H al. manu ἄλλοσε, Ald.; ἄλλας al. manu J) vulg. – μὲν ἂν (οὖν pro ἂν Lind., Mack) ἐς ἄλλο θ, Lind., Mack. — [10] δ' EH. – δ' ἂν ἐς θ. – εἰς E. — [11] καὶ διακρ. sine δὲ θ. – πάντα ἅμα θ. – καὶ πρότερον οὐδὲ ἓν ἕτερον ἑτέρου οὐδ' ὕστερον θ. – τοῦ προτέρου pro οὔτε πρότερον FGJ. – οὐδ', al. manu οὔθ' H.

Mais elle ne croît pas en tous semblablement : dans les jeunes, la circulation étant rapide et le corps étant croissant, l'âme brûlée et atténuée se consume pour la croissance du corps ; chez les vieux, le mouvement étant lent et le corps étant froid, elle se consume pour la décroissance du corps. Les corps qui sont dans la fleur et aux âges féconds, peuvent nourrir et accroître. Ainsi les hommes puissants : celui qui peut nourrir le plus d'hommes est puissant ; mais, ceux qui étaient nourris par lui venant à manquer, il est faible. Il en est de même de chaque corps ; celui qui peut nourrir le plus d'âmes, est plus fort ; cette faculté s'en allant, il devient plus faible.

26. (*Tout, dans le fœtus, se forme simultanément.*) Pour ce qui va partout ailleurs que dans une femme, il n'y a point de croissance ; mais pour ce qui va dans une femme, il y a croissance, si se rencontre ce qui convient. Tous les membres se séparent en même temps et croissent ; il n'y en a aucun qui vienne plus tôt ou plus tard qu'un autre ; mais ceux qui ont naturellement plus de volume paraissent avant les plus petits, sans être pour cela formés plus tôt. Tous ne se forment pas en un temps égal, mais les uns plus tôt, les autres plus tard, suivant que chacun rencontre le feu et l'aliment ; les uns en quarante jours ont tout visible, les autres en deux mois, les autres en trois, les autres en quatre. De même ils viennent viables, les uns plus tôt en sept mois complétement, les autres plus tard en neuf mois complétement, et ils se montrent à la lumière ayant la composition qu'ils auront toujours.

— [12] πρότερον, al. manu ρα H. — [13] ἦν EHK, Ald., Frob., Zwing., Lind. - καὶ om. (E, restit. al. manu) HK. - τύχῃ ἕκαστα EHJKθ. — [14] καὶ om. E. - τὰ μὲν οὖν ἐν τεσσαράκοντα καὶ τρισὶν ἡμέρῃσιν ἴσχει (ἐν τεσσαράκοντα ἴσχει τρισὶ, al. manu τεσσαράκοντα καὶ τρισὶ ἴσχει H; ἐν τεσσαράκοντα ἡμέρησι καὶ τρισὶν ἴσχει EK), τὰ δ' ἐν τετραμήνῳ vulg. - τὰ μὲν οὖν ἐν τεσσεράκοντα ἡμέρησιν ἴσχει πάντα φανερὰ, τὰ δ' ἐν δύο μησὶ, τὰ δ' ἐν τρισὶ, τὰ δ' ἐν τετραμήνω θ. — [15] ὡς δ' αὕτως EHIKθ. - τελέως θ. — [16] εἰς φῶς θ. - σύγκρησιν EIJK, Mack. - σύγκρασιν θ. - σύγκρισιν vulg. (H, al. manu κρη). - ἔχει θ.

27. [1]Ἀῤῥενα μὲν οὖν καὶ θήλεα ἐν τῷδε τῷ τρόπῳ γένοιτ' ἂν ὡς ἀνυστόν· τὰ δὲ θήλεα πρὸς ὕδατος μᾶλλον ἀπὸ τῶν ψυχρῶν καὶ ὑγρῶν καὶ [2]μαλθακῶν αὔξεται καὶ σίτων καὶ ποτῶν καὶ ἐπιτηδευμάτων· τὰ δὲ ἄρσενα πρὸς πυρὸς μᾶλλον, ἀπὸ τῶν ξηρῶν [3]δηλαδὴ καὶ θερμῶν σίτων τε καὶ λοιπῆς διαίτης. Εἰ οὖν θῆλυ τεκεῖν βούλοιτο, τῇ πρὸς ὕδατος [4]διαιτήσει χρηστέον· εἰ δὲ ἄρσενα, τῃ πρὸς πυρὸς ἐπιτηδεύσει διακτέον· καὶ οὐ μόνον τὸν ἄνδρα δεῖ τοῦτο διαπρήσσεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. [5]Οὐ γὰρ τὸ ἀπὸ τοῦ ἀνδρὸς μοῦνον αὔξιμόν ἐστιν ἀποκριθὲν, ἀλλὰ καὶ τὸ ἀπὸ τῆς γυναικὸς, διὰ τόδε· ἑκάτερον μὲν [6]τὸ μέρος οὐκ ἔχει ἱκανὴν τὴν κίνησιν τῷ πλήθει τοῦ ὑγροῦ, ὥστε καταναλίσκειν τὸ ἐπιῤῥέον καὶ [7]ξυνιστάναι δι' ἀσθενείην τοῦ πυρός· ὁκόταν δὲ κατὰ [8]τωὐτὸ ἀμφότερα συνεμπεσόντα τύχῃ, [9]περιπίπτει πρὸς ἄλληλα, τὸ πῦρ τε πρὸς τὸ πῦρ καὶ τὸ ὕδωρ ὡσαύτως. [10]Εἰ μὲν οὖν ἐν ξηρῇ τῇ χώρῃ [11]περικινέεται, κρατέει τοῦ ξυνεμπεσόντος ὕδατος, καὶ ἀπὸ τούτου αὔξεται τὸ πῦρ, ὥστε μὴ κατασβέννυσθαι [12]ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, ἀλλὰ τό τε ἐπιὸν δέχεσθαι καὶ συνιστάναι πρὸς τὸ ὑπάρχον· ἢν δὲ ἐς τὸ ὑγρὸν πέσῃ, εὐθέως [13]ἀπ' ἀρχῆς κατασβέννυταί τε ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος καὶ διαλύεται [14]ἐς τὴν μείω τάξιν. Ἐν μιῇ δὲ ἡμέρῃ τοῦ μηνὸς ἑκάστου δύναται συστῆναι καὶ κρατῆσαι τῶν ἐπιόντων, καὶ [15]ταῦτ' ἢν τύχῃ ξυνεμπεσόντα παρ' ἀμφοτέρων κατὰ [16]τόπον.

28. Ξυνίστασθαι δὲ δύναται καὶ τὸ θῆλυ καὶ τὸ ἄρσεν πρὸς ἄλληλα, [17]διότι καὶ ἐν ἀμφοτέροις ἀμφότερα τρέφεται, καὶ διότι ἡ μὲν ψυχὴ [18]τωὐτὸ πᾶσι τοῖσιν ἐμψύχοισι, τὸ δὲ σῶμα διαφέρει ἑκά-

cela signale un trouble dans le corps; si ce trouble est fort, fort est le mal; s'il est faible, le mal est plus faible. Quant à l'action sur laquelle on rêve, faut-il ou non en détourner? c'est ce que je ne juge pas; mais je conseille de traiter le corps; car une plénitude quelconque s'est amassée, et il en est résulté une sécrétion qui a troublé l'âme. Si donc ce qui contrarie est considérable, il convient de vomir, puis, pendant cinq jours, d'augmenter progressivement la nourriture par des aliments légers, d'user de promenades du matin considérables et rapides en suivant une gradation, et de faire des exercices en proportion avec l'alimentation croissante. Si ce qui contrarie est plus faible, on s'abstient du vomissement, on retranche le tiers des aliments, puis pendant cinq jours on augmente graduellement la nourriture. On insiste sur les promenades, on use des exercices de la voix, on invoque les dieux, et le trouble s'apaise.

89. (*Des songes dans lesquels on voit quelque phénomène céleste.*) Voir le soleil, la lune, le ciel et les astres purs, agiles, et chacun suivant son mode d'être, est favorable; cela promet au corps santé de la part de tout ce qui y est; il faut maintenir cette disposition en maintenant le régime actuel. Voir quelque chose de contraire, annonce quelque maladie, plus forte s'il s'agit d'influences plus fortes, plus légère s'il s'agit d'influences plus faibles. Aux astres appartient la révolution extérieure, au soleil la révolution intermédiaire, à la lune la révolution vers les parties creuses. Quel que soit celui de ces astres qui paraît ou s'éteindre ou être lésé ou disparaître ou être arrêté dans sa révolution, si c'est par un brouillard ou un nuage, l'influence est plus faible; si

τὸ μέρος καὶ τὴν νοῦσον προσγίνεσθαι (περιγίνεσθαι Ald.), καὶ vulg.–κατ'.... καὶ om. (H, restit. al. manu) θ.–Cette suppression me semble indispensable. —[14] τὴν pro καὶ ἣν θ.–Mack dit qu'il y a κῆν.–ὑπ' EHKθ.–ἀπὸ J.–ἠέρος θ.–ἀέρος vulg.–ὁρᾷ om. (H, restit. al. manu) θ.–ὁρῆ E.–ὁρᾶται Zwing., Mack.–τι τῶν ἄστρων τούτων πάσχον om. θ. —[15] εἰ EHKQ'θ.–καὶ pro ὑπὸ EHKQ'θ.–ὑπὸ om. GJ, Ald.–ἐν τῷ σώματι ἀπόκρισιν K.–ὑγρὴν θ, Lind., Mack.–ὑγρὰν vulg.–γινομένην. al. manu γεν H.

δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὴν καὶ φλεγματώδεα γενομένην, ἐς τὴν [1] ἔξω περιφορὴν ἐσπεπτωκέναι. Ξυμφέρει τοιγαροῦν τούτῳ τοῖσί τε δρόμοισιν ἐν [2] τοῖσιν ἱματίοισι κεχρῆσθαι πολλοῖσιν, ἐξ ὀλίγου προσάγοντα, ὅκως ἐξιδρώσει ὡς μάλιστα, καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ γυμνασίου πολλοῖσι· καὶ [3] ἀναρίστον διάγειν· τῶν τε σιτίων ἀφελόμενον τὸ τρίτον μέρος προσάγειν ἐς πέντε ἡμέρας· εἰ δὲ δοκοίη ἰσχυρὸν εἶναι, καὶ [4] πυριῆσαι· τὴν γὰρ κάθαρσιν διὰ τοῦ [5] χρωτὸς ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ ἐστι τὸ βλάβος· τοῖσι δὲ [6] σιτίοισι χρῆσθαι ξηροῖσι, δριμέσιν, αὐστηροῖσιν, ἀκρήτοισι, καὶ τοῖσι πόνοισι τοῖσι ξηραίνουσι μάλιστα. [7] Εἴ τι δὲ τούτων ἡ σελήνη πάσχοι, εἴσω τὴν ἀντίσπασιν ποιέεσθαι ξυμφέρει, ἐμέτῳ [8] χρησάμενον ἀπὸ τῶν δριμέων καὶ ἁλμυρῶν καὶ μαλακῶν σιτίων. Τοῖσι [9] δὲ τῆς φωνῆς πόνοισι, καὶ ἀναριστίῃσι, [10] καὶ τοῦ σίτου τῇ ἀφαιρέσει, καὶ προσαγωγῇ ὡσαύτως· [11] διὰ τοῦτο δὲ εἴσω ἀντισπαστέον, διότι πρὸς τὰ κοῖλα τοῦ σώματος [12] τὸ βλαβερὸν ἐφάνη. Εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχει, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον· δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιέεσθαι καὶ τοῖσι δρόμοισι τοῖσί τε καμπτοῖσι [13] καὶ τροχοῖσι χρῆσθαι καὶ τοῖσι περιπάτοισι καὶ τοῖσιν ἄλλοισι πόνοισι πᾶσι, τῶν [14] δὲ σίτων τῇ ἀφαιρέσει καὶ τῇ προσαγωγῇ ὡσαύτως· ἔπειτα ἐξεμέσαντα αὖθις προσάγειν πρὸς τὰς πέντε. Εἰ [15] δὲ αἰθρίης ἐούσης θλίβεται καὶ ἀσθενέα δοκέει εἶναι καὶ ὑπὸ τῆς ξηρασίης τῆς περιόδου κρατέεσθαι, σημαίνει κίνδυνον ἐς

[1] Ἔξω Zwing., Foes in not., Lind., Mack. – ἔσω vulg. – La suite montre qu'il faut lire ἔξω. Mack dit que θ a ἔξω, ma collation n'en dit rien. – ἐσπεπτωκέναι θ, Mack. – ἐμπεπτωκέναι vulg. – δὲ pro τοιγαροῦν EHKP'θ, Mack. — [2] τισὶν Q'. – τοῖσιν om. Lind. – πᾶσιν pro τοῖσιν Ald. – χρῆσθαι EHKθ. – ὅπως θ. – ἐξιδρώσῃ vulg. – πολλοῖσί [τε] καὶ Lind. — [3] ἀνάριστον διάγειν (χρέεσθαι Mack) θ. – ἀναρίστοισι χρῆσθαι (διάγειν, al. manu χρῆσθαι H) vulg. – τῶν δὲ σίτων ἀφελόμενον θ. – ἀφελόμενος vulg. – εἰς EHK. – πένθ' θ. – ἰσχυρότερον θ. — [4] πυρίῃ χρῆσθαι EHKP'(θ, πυριήσει), (Lind., χρέεσθαι). — [5] χρωτὸς θ, Mack. – χρώματος vulg. – συμφέρει θ. — [6] σίτοισι θ. – χρέεσθαι Lind., Mack. – ἀκρίτοισι θ. — [7] εἰ δέ τι θ. – πάσχει EGK. – παράσχοι, al. manu πάσχοι H. – ποιέεσθαι θ, Lind., Mack. – ποιεῖσθαι vulg. – συμφέρει θ. — [8] χρῆσθαι θ. – χρέεσθαι, d'après Mack. – σιτίων μαλακῶν J. – Post σιτίων addit τοῖσι δὲ τροχοῖσιν (τροχέσιν J) ὀξέσι καὶ τοῖσι περιπάτοισιν ὀξέσι (καὶ τοῖσι περ. ὀξέσι om. FGIJ) vulg. – τοῖσι δὲ τρ. ὀξ. κ. τ. π. ὀξ. om. θ. – D'après Mack ce membre de phrase ne manque pas dans θ; mais on y lit en place : τοῖσί τε πόνοισιν ὀξέσι καὶ τοῖσι περιπάτοισι. Toutefois cette suppression me paraît bonne ; car il s'agit de faire la révulsion à l'intérieur et non à l'extérieur.

c'est par de l'eau ou de la grêle, l'influence est plus forte ; en tout cas c'est l'annonce qu'une sécrétion humide et phlegmatique, s'étant faite dans le corps, est tombée à la surface extérieure. Dans ce cas conviennent les courses en habit, considérables, augmentées graduellement, afin que l'on sue autant que possible, les promenades considérables après le gymnase, la suppression du déjeuner, le retranchement du tiers des aliments, auxquels on reviendra par gradation en cinq jours. Si l'influence paraît forte, on aura recours aux étuves, car il importe de faire la purgation par la peau puisque le mal est dans la surface extérieure. On usera des aliments secs, âcres, astringents, non tempérés, et des exercices qui dessèchent surtout. Est-ce la lune qui offre quelqu'une de ces apparences? on fera la révulsion vers l'intérieur : vomissement avec des aliments âcres, salés et mous, exercices de la voix, suppression du déjeuner, même retranchement des aliments et même accroissement graduel. La révulsion doit être à l'intérieur, parce que le mal s'est montré vers les parties creuses du corps. Est-ce le soleil? cela est déjà plus puissant et plus difficile à expulser. On fera les révulsions des deux côtés : courses recourbées, courses au cerceau, promenades, et tous les genres d'exercices gymnastiques ; même retranchement des aliments, même accroissement graduel ; puis vomissement, et derechef augmentation graduelle des aliments pendant les cinq jours. Si, le temps étant serein, les astres paraissent être comprimés, affaiblis et surmontés par la sécheresse de la révolution, c'est l'indice d'un danger de maladie; on diminuera

—[9] τε pro δὲ EH. —[10] καὶ om. EGHIJKθ, Ald. - τουτέοισι pro τοῦ σίτου θ. —[11] διὰ.... ὡσαύτως om. FGIJ. —[12] τὸ θ, Mack. - τὸ om. vulg. - τι om. θ, Mack. - πάσχοι θ. - ποιέεσθαι θ, Lind., Mack. - ποιεῖσθαι vulg. —[13] καὶ K'θ, Mack. - καὶ om. vulg. —[14] τε pro δὲ EHKθ. - αὖτις (H, al. manu αὖθις) θ. —[15] δ' ἐθρίης ἐούσης θλίβηται καὶ ἀσθένεια δοκῇ θ. - δ' EHK. - οὔσης vulg. - δοκοίη vulg. - δοκέει EH. - δοκεῖ K. - καὶ Zwing. in marg. - καὶ om. vulg. - L'addition de ce καὶ, proposée par Zwing., me paraît la véritable correction. - καὶ τῆς περιόδου Vatic. Codd. ap. Foes in not., Lind., Mack. - καὶ, introduit ici, ne remédie en rien à la difficulté qu'offre le texte de vulg. - ἐς EHJK, Lind. - εἰς vulg.

νοῦσον πεσεῖν· ἀλλὰ χρὴ [1]τῶν πόνων ἀφαιρέειν, τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι, [2]καὶ λουτροῖσι καὶ ῥαθυμίῃ πλείονι, καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστῇ. Εἰ δὲ [3]πυροειδὲς δοκοίη εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει· [4]εἰ μὲν οὐ κρατοίη τὰ ὑπάρχοντα, νοῦσον σημαίνει· εἰ δὲ καὶ ἀφανίζοιτο τὰ [5]κρατεύμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νούσου ἐλθεῖν. Εἰ δὲ [6]τρεφθῆναι δοκοίη ἐς φυγὴν τὸ ὑπάρχον, φεύγειν δὲ ταχέως, [7]τοὺς δὲ διώκειν, κίνδυνος μανῆναι [8]τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. Ξυμφέρει δὲ τούτοισι πᾶσι μάλιστα μὲν ἐλλεβόρῳ καθαρθέντας διαιτῆσθαι· [9]ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρῆσθαι ξυμφέρει, οἶνον δὲ μὴ πίνειν· [10]εἰ δ' οὖν, λευκὸν, λεπτὸν, μαλακὸν, ὑδαρέα· ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν· πόνοισι δὲ τοῖσι κατὰ φύσιν πλείστοισι [11]χρέεσθαι καὶ δρόμοισιν ἐν ἱματίῳ πλείστοισι· τρίψις δὲ μὴ ἔστω, μηδὲ πάλη, μηδὲ ἀλίνδησις· [12]ὕπνοισι πολλοῖσι μαλακευνείτω, καὶ ῥαθυμείτω πλὴν τῶν κατὰ φύσιν πόνων· ἀπὸ [13]δὲ τοῦ δείπνου περιπατείτω· ἀγαθὸν δὲ καὶ πυριῆσθαι· ἐμέειν δ' ἐκ τῆς πυριῆς· τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῇ· ὅταν δὲ πληρωθῇ, [14]δὶς ἐν τῷ μηνὶ ἐμεσάτω ἀπὸ τῶν γλυκέων καὶ ὑδαρέων καὶ κούφων. Ὁκόσα δὲ τούτων πλανᾶται [15]ἄλλοτε ἄλλῃ μὴ ὑπ' ἀνάγκης, ψυχῆς τινα τάραξιν σημαίνει ὑπὸ μερίμνης· [16]ξυμφέρει δὲ τούτῳ ῥαθυμῆσαί

[1]Τὸν πόνον al. manu, erat prius τῶν πόνων H. – τῇ τε διαίτῃ τῇ ὑγροτάτῃ sine καὶ μαλακῇ θ. – χρέεσθαι, καὶ om., restit. al. manu H. — [2]τοῖσί τε λουτροῖσι θ. – καὶ ὕπνοισι μέχρι καταστῇ θ. – ὕπνοισι pro ὕ. πολλῷ EK. – μέχρι sine ἄν, al. manu μέχρις ἄν H. – καταστήσῃ vulg. — [3]πυρροειδὲς (H, al. manu, erat prius πυρο) J. – δοκοίη (δοκέοι θ; δοκέει E) εἶναι scribuntur ante καὶ EHKθ. – ὑπεναντιώμενον (H, al. manu ού) θ. – ὑπεναντιούμενον E. — [4]εἰ.... σημαίνει θ. – εἰ.... σημαίνει om. vulg. — [5]κρατεύμενα θ, Mack. – κρατούμενα vulg. – νούσου EHIKθ, Lind., Mack. – νόσου vulg. — [6]τραφῆναι, al. manu τρεφθῆναι H. – δοκέοι θ. – Ante ἐς addit τραπῆναι (H, al. manu, erat prius τραφῆναι) vulg. – τραπῆναι om. θ, Mack. – φεύγει, al. manu ειν H. — [7]ἀστέρας pro τοὺς Codd. quidam ap. Foes in not. — [8]καὶ τὸν E. – συμφέρει θ, Mack. – μάλιστα EHIJQ'θ, Zwing. in marg., Mack. – κάλλιστα vulg. – καθαρθέντας θ, Vatic. Codd. ap. Foes in not., Zwing., Mack. – κρατηθέντας vulg. – ἐκδιαιτῆσθαι E (H, al. manu διαιτῆσθαι) Kθ. – διαιτεῖσθαι J. — [9]εἰ EHKθ. – ξυμφέρει χρῆσθαι EHK (συμφέρει, θ). – χρέεσθαι συμφέρει Mack. – χρέεσθαι Lind. – συμφέρει IJ. — [10]εἰ δὲ (δὲ om. θ, Mack) μὴ pro εἰ δ' οὖν EHKθ, Zwing. in marg., Mack. – λεπτὸν λεπτὸν pro λ. λ. I. – λευκὸν om. GJ. – ὑδαρέα θ. – ὑδαρῆ vulg. – θερμῶν pro θερμαντικῶν, et scribitur ante δριμέων θ. — [11]χρήσθω θ. – χρεέσθω J. – χρεέσθω δὲ καὶ EHK. – ἱματίοισι (H, al. manu, erat prius ἱματίῳ) KP'Q', Lind., Mack. – τρίψεις θ. —

les exercices, on usera d'un régime mou et plus humide, de bains, de plus d'inaction, de beaucoup de sommeil, jusqu'à ce que le mal disparaisse. Si ce qui contrarie est d'apparence ignée et chaud, c'est l'annonce d'une sécrétion bilieuse; si les parties intégrantes du corps ne triomphent pas, c'est l'annonce d'une maladie; si les parties vaincues semblent même disparaître, c'est l'annonce que la maladie fera courir un danger de mort. Si ce qui est dans le corps semble être mis en fuite, et fuir rapidement, poursuivi par les astres, il y a danger de délire, à moins que le traitement n'intervienne. Il convient, dans tous ces cas, surtout d'évacuer par l'ellébore et de mettre au régime; sinon, on prendra le régime de l'eau, on ne boira pas de vin, ou, si on en boit, il sera blanc, léger, mou, aqueux. On s'abstiendra des substances âcres, desséchantes, échauffantes, salées. On usera surtout des exercices naturels; beaucoup de courses en habit; point de frictions; point de lutte; point de lutte sur la poussière; beaucoup de sommeil et sur un coucher mollet; du repos, si ce n'est pour les exercices naturels; des promenades après le dîner. Il est bon aussi d'user d'étuves. On vomira après l'étuve. De trente jours, on ne mangera à son plein appétit, et, quand on s'y sera remis, on vomira deux fois dans le mois avec des aliments doux, aqueux et légers. Quand ces astres paraissent errer çà et là sans rien qui les force, cela indique une certaine perturbation de l'âme par l'effet de soucis; il convient de se reposer et de tourner l'âme vers les spectacles, surtout vers ceux qui provoquent le rire; sinon, vers ceux que le sujet a le plus de

[12] ὕπνοισι (addunt πολλοῖσι θ, Mack) μαλακοῖσι εὐδεέτω (μαλακυπνεύτω F; μαλακυγνεύτω sic G; μαλακυνεύτω HIJK, Ald.; μαλακευνείτω θ, Zwing. in marg. vel μαλακοῖσι εὐνείτω, Lind., Mack; μαλακοῖσιν εὐνείτω EQ') vulg. – καὶ om., restit. al. manu H. – ῥαθυμήτω I. – ῥαθυμέτω (sic) G. – Ante τῶν addit ἐκ θ. — [13] δὲ τοῦ om. EHKθ. – πυριᾶσθαι καὶ ἐμέειν ἐκ θ. – τριάκοντα EIJK. – δ' EHK. — [14] τρὶς (H, al. manu δὶς) θ. – ὑδαρέων EHIθ, Mack. – ὑδαρῶν vulg. — [15] ἄλλοις ἄλλως sine μὴ ὑπ' ἀνάγκης θ. – ὑπὸ H. – τάραξίν τινα θ. — [16] συμφέρει δὴ θ. – τε om. EJK, Ald. – τε καὶ om. (H, καὶ restit. al. manu) θ. – τρέψαι EFG (H, al. manu, erat prius τραπῆναι) IJK, Lind., Mack. – τραπέσθαι θ. – θρέψαι Codd. Vatic. ap. Foes in not.

τε καὶ τὴν ψυχὴν τραπῆναι [1]πρὸς θεωρίας, μάλιστα μὲν πρὸς τὰς φερούσας γέλωτας, εἰ δὲ μὴ, ὅ τι μάλιστα ἡσθήσεται θεησάμενος, ἡμέρας δύο ἢ τρεῖς, καὶ καταστήσεται· εἰ δὲ μὴ, κίνδυνος ἐς νοῦσον πίπτειν. Ὅ τι δ' [2]ἂν ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέῃ τῶν ἄστρων, ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ καὶ [3]πρὸς ἕω δοκέει φέρεσθαι, ὑγείην σημαίνει· [4]ὅ τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν ἀφ' ἑσπέρας [5]πρὸς ἠῶ, ὀρθῶς ἔχει· καὶ γὰρ τὰ ἐς τὴν κοιλίην ἀποκρινόμενα καὶ τὰ ἐς τὴν σάρκα ἀπερευγόμενα ἅπαντα [6]ἐκ τῆς περιόδου ἐκπίπτει. Ὅ τι δ' ἂν τούτων μέλαν καὶ ἀμυδρὸν καὶ πρὸς ἑσπέρην δοκέῃ φέρεσθαι, ἢ ἐς [7]τὴν θάλασσαν ἢ ἐς τὴν γῆν [8]ἢ ἄνω μᾶλλον, ταῦτα σημαίνει τὰς νούσους· τὰ μὲν ἄνω φερόμενα ῥεῦμα κεφαλῆς ἐστι δηλοῦντα· [9]ὁκόσα δὲ ἐς θάλασσαν, κοιλίης νουσήματα· [10]ὁκόσα δὲ ἐς γῆν, φύματα μάλιστα σημαίνει τὰ ἐν τῇ σαρκὶ φυόμενα. Τούτοισι [11]ξυμφέρει τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέσθαι, ἐμέσαντάς δὲ προσάγειν ἐς ἡμέρας πέντε, ἐν ἄλλῃσι δὲ [12]πέντε κομίσασθαι τὰ σιτία πάντα· καὶ [13]ἐμέσας πάλιν προσαγέσθω κατὰ τὸν αὐτὸν τρόπον. Ὅ τι δ' [14]ἂν τῶν οὐρανίων ἐφέζεσθαι δόξῃ σοι καθαρὸν μὲν καὶ ὑγρὸν ἐὸν, ὑγιαίνειν σημαίνει, διότι ἐκ τοῦ αἰθέρος [15]ἐς τὸν ἄνθρωπον καθαρὸν κατελθόν ἐστι, τοιοῦτον [16]δὲ καὶ ἡ

[1]Καὶ πρὸς H. – θεωρίαν Lind. – γελοίας pro φερούσας γελ. EH (γελοίους, P'θ). – γελοῖον pro γελῶτας Codd. quidam ap. Foes in not. – Ante ὅ τι addit ἄλλας τινὰς θ. – θεησάμενος θ. – θεασάμενος vulg. – τρὶς θ. — [2]ἢν EH. – περιφορᾶς θ. – λαπρὰ, al. manu λαμπρὰ H. — [3]προσεω (sic) θ. – πρόσω vulg. – πρὸς ἕω Zwing. in marg., Mack. – δοκέῃ EK. – δοκεῖ vulg. – φέρεται pro δ. φέρεσθαι θ. – φέρεται καὶ ὑγείην, al. manu δοκέει φέρεσθαι, ὑγείην H. — [4]ὅ τι δ' ἂν ἐν τ. σ. κ. ἐνεὸν ἐκκρίνηται θ. – ἐκκρ. om. J. – ἐκκρίνηται E (H, al. manu, erat prius ἐκκρίνεται). — [5]προσῆ pro πρὸς ἠῶ EH. – προς ἢ GIJ, Ald., Frob. (Zwing. in textu, πρὸς ἕω in marg.). – πρὸς ἠῶ ὄρθρον Codd. quidam ap. Foes in not. – ἕω Lind., Mack. – γὰρ om. GIJ. – ἐς τὴν κοιλίην θ, Codd. Vatic. ap. Foes in not., Lind., Mack. – ἐν τῇ κοιλίῃ vulg. – πάντα θ. — [6]ἀπὸ FGIJ. — [7]τὴν om. θ. – θάλατταν HK. — [8]ἢ om. θ. – μᾶλλον om. θ. – ταύτας pro ταῦτα J. – νούσους EHKθ, Lind., Mack. – νόσους vulg. – κεφαλῆς ῥεύματα EHIKθ, Mack. – ἐστι δηλ. om. EHKθ. – δηλῶντα Frob., Zwing., Mack. – δῆλον FGJ, Ald. — [9]ὅσα δ' ἐς θ. – θάλατταν EHK. – νοσήματα EHKθ. — [10]ὅσα Eθ. – δ' E. – ἐς τὴν γῆν EHK. – ἐκφύματα (ἐς φύματα EFGHIK, Ald.) vulg. – φύματα Jθ. — [11]συμφέρει θ. – ἐμέσαντας Iθ, Mack. – ἐμέσαντα vulg. — [12]πέντε om., restit. al. manu ε E. – τὸ σιτίον ἅπαν EFHIJK (θ, sine ἅπαν). – D'après Mack θ a τὰ σιτία. — [13]ἐμέσας EHP'Q'θ. – ἐμέσαντα vulg. – ἐμέσαντας Mack. – προσάγεσθαι Lind. – κατὰ τὸ αὐτὸ θ. – τρόπον om., restit. al. manu H. — [14]ἢν, al. manu ἂν H. – τῶν οὐρανίων θ, Mack. – τούτων οὐρα-

plaisir à voir, pendant deux ou trois jours, et cela s'apaisera ; au cas contraire, il y a danger de tomber malade. Quand quelqu'un des astres semble s'échapper de la voie circulaire, s'ils sont purs, brillants et paraissent être portés vers l'orient, c'est une annonce de santé ; car ce qui, étant pur dans le corps, s'échappe de sa voie circulaire par un mouvement naturel (or, le mouvement naturel est d'occident en orient), cela, dis-je, est régulier ; et le fait est que toute chose amenée par sécrétion dans le ventre ou portée par une sorte d'éructation dans les chairs s'échappe de la voie circulaire. Quant à ce qui dans le ciel paraît noir, obscur ou allant vers l'occident, ou vers la mer ou vers la terre ou vers la région supérieure, c'est annonce de maladies : vers la région supérieure, annonce de catarrhes de la tête ; vers la mer, annonce d'affections abdominales ; vers la terre, annonce de tumeurs formées surtout dans la chair. Dans ces cas il convient de retrancher le tiers des aliments, de vomir, puis d'accroître graduellement la nourriture pendant cinq jours et de revenir en cinq autres jours à la totalité des aliments ; alors de vomir et de repasser par la même série. Quand un corps céleste, étant pur et humide, paraît se poser sur vous, c'est l'indice de la santé, parce que c'est quelque chose de pur qui descend de l'éther en l'homme, et que, de fait, l'âme le voit tel qu'il pénètre. Mais si ce corps céleste est noir et n'est ni pur ni diaphane, cela indique une maladie non par plénitude, non

νίοισιν vulg. – δόξῃ σοι ἐφέζεσθαι EHK. – δόξῃ (sine σοι) ἐφίζεσθαι θ (Mack, ἐφέζεσθαι). – δόξει vulg. – μὲν θ, Mack. – μὲν om. vulg. – ἠέρος pro αἰθέρος Zwing. in marg. — [15] D'après Mack θ ajoute τὸ devant ἐς ; ma collation n'en dit rien. – ἐς τὸν ἄνθρωπον κατελθόν ἐστι vulg. – ἐς τὸν ἄνθρωπον καθαρόν ἐστι E (H, al. manu κατελθόν) θ. – Il faut prendre à la fois καθαρὸν et κατελθόν. Dans un des textes καθαρὸν a disparu, dans l'autre c'est κατελθὸν, à cause que les deux mots commencent par κα. Au reste καθαρὸν est nécessaire, comme l'indique τοιοῦτον du membre de phrase qui suit. — [16] δὲ ὁρῇ καὶ ἡ ψυχὴ EP'Q', Lind. – ὁρᾷ vulg. – ἐσῆλθεν θ. – ἐσέλθῃ vulg. – ἦν pro ἂν EHQ'. – μέλας Q'. – μηδὲ ἀφανὲς vulg. – μηδὲ (ἢ pro μηδὲ Lind.) διαφανὲς EHIJKQ'θ, Zwing., Lind., Mack. – μὴ διαφανὲς Foes in not. – μὴ ἐμφανὲς scribit Scaliger. – πλεισμονὴν θ. – ἐπαγωγῇ θ, Mack. – ἐπαγωγῆς vulg.

ψυχὴ ὁρῇ οἷόν περ ἐσῆλθεν· ὅ τι δ' ἂν μέλαν ᾖ καὶ μὴ καθαρὸν μηδὲ διαφανὲς, νοῦσον σημαίνει, οὔτε διὰ πλησμονὴν οὔτε διὰ κένωσιν, ἀλλ' ἔξωθεν ἐπαγωγῇ. [1]Ξυμφέρει δὲ τούτῳ τροχοῖσιν ὀξέσι κεχρῆσθαι, ὅκως σύντηξις μὲν ὡς ἐλαχίστη τοῦ σώματος γένηται, πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος ἐκκρίνῃ τὸ παρελθόν· ἀπὸ δὲ τῶν τροχῶν περιπάτοισιν ὀξέσιν· [2]ἡ δὲ δίαιτα μαλακὴ καὶ κούφη προσαχθήτω ἐς ἡμέρας τέσσαρας. Ὅ τι δ' [3]ἂν παρὰ θεοῦ δοκέῃ λαμβάνειν καθαροῦ καθαρὸν, ἀγαθὸν πρὸς ὑγείην· σημαίνει γὰρ τὰ ἐσιόντα ἐς τὸ σῶμα εἶναι καθαρά. Ὅ τι δ' [4]ἂν τούτου τὸ ἐναντίον δοκέῃ ὁρῆν, οὐκ ἀγαθόν· νοῦσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐσεληλυθέναι· χρὴ οὖν [5]ὡς τὸν πρότερον θεραπευθῆναι καὶ τοῦτον. Εἰ δὲ δοκοίη ὕεσθαι ὕδατι [6]μαλθακῷ ἐν εὐδίῃ, καὶ μὴ σφόδρα βρέχεσθαι, μηδὲ δεινῶς χειμάζειν, ἀγαθόν· σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος ἐληλυθέναι. Εἰ δὲ τούτων τἀναντία, σφόδρα ὕεσθαι καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί τε μὴ καθαρῷ, [7]νοῦσον σημαίνει ἀπὸ [8]τοῦ πνεύματος τοῦ ἐπακτοῦ· ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι, σιτίοισί τε ὀλίγοισι πάντας τούτους. Περὶ μὲν [9]οὖν τῶν οὐρανίων σημείων οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι καὶ ἐκδιαιτῆσθαι καὶ τοῖσι θεοῖσιν εὔχεσθαι, ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν Ἡλίῳ, Διὶ οὐρανίῳ, Διὶ κτησίῳ, [10]Ἀθηνᾷ κτησίῃ, Ἑρμῇ, Ἀπόλλωνι, ἐπὶ δὲ τοῖσιν ἐναντίοισι τοῖσιν ἀποτροπαίοισι, καὶ Γῇ [11]καὶ ἥρωσιν, ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα.

90. Προσημαίνει δὲ καὶ τάδε πρὸς ὑγείην, [12]τῶν ἐπὶ γῆς ὀξὺ ὁρῆν

[1] Σ. IJθ, Mack. – χρῆσθαι EHKθ. – χρέεσθαι Lind., Mack. – D'après Mack θ a χρέεσθαι. – μὲν EQ'θ, Lind., Mack. – μὲν om. vulg. — [2] τῇ διαίτῃ μαλακῇ κούφῃ (H, al. manu ἡ δὲ δίαιτα) θ. — [3] ἢν EH. – λαμβάνειν παρὰ θεοῦ δοκῇ (δοκέῃ Lind.) καθαρὸν vulg. – παρὰ θεοῦ δοκῇ (δοκέῃ θ) λαμβάνειν καθαροῦ καθαρὸν EHKθ. – D'après Mack θ a λαμβάνει. – εἰσιόντα HK. – εἰς HK. – τὰ ἐς τὸ σῶμα εἰσιόντα θ. — [4] ἢν EH. – τὸ om. θ. – ὁρῆν δοκέῃ θ. – δοκῇ vulg. – δοκέῃ Lind. – ὁρῆν E, Lind., Mack. – ὁρᾷν vulg. – νοῦσον J, Lind., Mack. – νόσον vulg. – νοσηρὸν γάρ τι θ. – σημαίνει ἐς τὸ σῶμα ἐσηλελυθέναι EH (K, εἰσελ.) θ. – ἐληλυθέναι σημαίνει J. – ἐληλυθέναι vulg. — [5] ὥσπερ K. – ὡς om. EFGH, Ald. – ἐκθεραπευθῆναι Kθ. – ὥσπερ ἐκθεραπευθῆναι pro θερ. EH. — [6] μαλακῷ E (H, al. manu μαλθακῷ) Kθ. – εὐδίᾳ EHK. – ἐληλυθέναι θ. – εἰσεληλυθέναι vulg. – τὰ ἐναντία θ. — [7] νοῦσον θ, Lind., Mack. – νόσον vulg. — [8] τοῦ EFGHIJθ, Lind. – τοῦ om. vulg. – ἐπεισάκτου Lind. – ἐπ' αὐτοῦ pro ἐπακτοῦ Ald. – σίτοισι δὲ ὀλ. παντελῶς τοῦτον θ. — [9] οὖν EHK, Lind. – οὖν om. vulg. – D'après Mack θ a οὖν; ma collation n'en dit rien. – Post σημείων addit ἄστρων vulg. – καὶ ἄστρων legendum, aut ἄστρων omittendum

par déperdition, mais par quelque afférence extérieure. En ce cas il convient d'user de courses au cerceau rapides, afin que, d'une part, il y ait le moins possible de colliquation du corps, et que d'autre part, la respiration devenant très-fréquente, ce qui est venu par afférence soit expulsé. Après la course au cerceau, promenades accélérées; régime mou et léger pendant quatre jours. Quoi que ce soit que l'on semble prendre pur d'un dieu pur, cela est favorable pour la santé; car c'est l'indice de la pureté de ce qui est introduit dans le corps; mais ce que l'on croit voir d'apparence contraire, n'est pas favorable; car cela annonce que la maladie est arrivée dans le corps. Même traitement que précédemment. Si l'on croit voir tomber une ondée douce par un temps calme, sans pluie à verse ni violent orage, cela est bon; car c'est l'indice que le souffle est venu, pur et en juste mesure, de l'air. Mais si l'on voit le contraire, pluie forte, orage, tourmente, averse d'une eau impure, cela annonce maladie par l'effet du souffle introduit. On emploiera, ici aussi, le même régime; peu d'aliments pour tous ces cas. Ainsi, se faisant une telle idée des signes célestes, on prendra ses précautions, on suivra le régime indiqué, et l'on priera les dieux; pour les bons signes, le Soleil, Jupiter céleste, Jupiter enrichissant, Minerve enrichissante, Hermès, Apollon; pour les signes contraires, les dieux qui détournent, la Terre, les Héros, afin que tous maux soient détournés.

90. (*Songes relatifs à des objets terrestres.*) Voici encore des signes favorables : apercevoir et entendre nettement ce qui est sur la terre, marcher sûrement, courir sûrement et

Zwing. in marg. – ἄστρων om. θ, Mack. – γινώσκοντα χρὴ EIJKθ. – ἐνδιαιτεῖσθαι J. – ἐνδιαιτῆσθαι θ. – τοῖσι θεοῖσιν EHKθ, Mack. – τοῖς θεοῖς vulg. — [10] ἀθηνῆ al. manu, erat prius ἀθηνᾶ H. – ἀθηναίη EKQ', Lind., Mack. – ἀποτροπαίοισι θ, Foes ex conject. in not., Lind., Mack. – ἀποτροπίοισι vulg. – καὶ om. θ. — [11] καὶ om. θ. – ἀποτροπέα εἶναι τὰ EH. – ἀποτρόπεα IK. – ἀποτρόπαια τὰ χαλεπὰ εἶναι παντὰ θ. — [12] τῶ ἐπίσης, al. manu τῶν ἐπὶ γῆς E. – τῶν ἐπίσης IJK, Lind. – τῶν ἐπιστῆς Q'. – ὀξὺ ὁρῆν καὶ ὀξὺ ἀκούειν θ. – καὶ τρέχειν ἀσφαλῶς om. FGJ. – Ante ἄτερ addit ταχὺ θ.

καὶ ἀκούειν, ὁδοιπορέειν τε ἀσφαλῶς καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φόβου, καὶ τὴν γῆν [1]ὁρῆν λείην καὶ καλῶς εἰργασμένην, καὶ τὰ δένδρεα θαλέοντα καὶ πολύκαρπα, καὶ ἥμερα, καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον καὶ ὕδατι καθαρῷ μήτε πλέονι μήτε ἐλάσσονι τοῦ προσήκοντος, [2]τάς τε κρήνας καὶ τὰ φρέατα ὡσαύτως. Ταῦτα πάντα οὕτως δρώμενα σημαίνει ὑγείην τῷ ἀνθρώπῳ, καὶ τὸ σῶμα [3]κατὰ τρόπον πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς καὶ τὰς ἀποκρίσεις εἶναι. Εἰ δέ τι [4]τούτων ὑπεναντίον δρῷτο, βλάβος σημαίνει τι ἐν τῷ σώματι· ὄψιος μὲν καὶ ἀκοῆς βλαπτομένων, περὶ τὴν κεφαλὴν νοῦσον σημαίνει· [5]τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι καὶ τοῖσιν ἀπὸ δείπνου πλέοσι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. [6]Τῶν σκελέων δὲ βλαπτομένων, ἐμέτοισιν ἀντισπαστέον, καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. [7]Γῆ δὲ τραχείη οὐ καθαρὴν τὴν σάρκα σημαίνει· τοῖσιν οὖν ἀπὸ τῶν γυμνασίων περιπάτοισι πλείοσι πονητέον. Δένδρων [8]δὲ ἡ ἀκαρπία σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ· ἣν μὲν οὖν [9]φυλλορῤῥοοῦντα ᾖ τὰ δένδρα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται· ἣν δὲ [10]τεθήλῃ μὲν, ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν· τὰ μὲν οὖν [11]τοῖσι διαιτήμασι χρὴ ξηραίνειν καὶ θερμαίνειν, τὰ δὲ ψύχειν [12]καὶ ὑγραίνειν. Ποταμοὶ [13]δὲ μὴ κατὰ τρόπον γινόμενοι αἵματος περίοδον σημαίνουσι, πλέον μὲν ῥέοντες ὑπερβολὴν, ἔλασσον δὲ ῥέοντες ἔλλειψιν· δεῖ δὲ τῇ διαίτῃ τὸ μὲν αὐξῆσαι, τὸ δὲ [14]μειῶσαι. Μὴ καθαροὶ δὲ ῥέοντες ταραχὴν σημαίνουσι· καθαίρονται δὲ ὑπὸ τῶν τροχῶν καὶ τῶν περιπάτων [15]πνεύ-

[1] Ὁρᾶν IJ. – λίην θ. – δένδρα IJ. – θαλέθοντα θ, Mack. – ῥαίοντας θ. – μήτε πλέονι μήτε ἐλάσσονι θ. – μήτε πλείονι μήτε ἐλάττονι (ἐλάσσονι Mack) vulg. — [2] καὶ τὰς κρήνας θ. – κρίνας K. – οὕτως ὁρώμενα om. (H, restit. al. manu) θ. – ὑγείην EHIJKθ, Lind., Mack. – ὑγείαν vulg. — [3] κατὰ τρόπον ponit ante εἶναι Lind. – δὲ pro τε GIJ. — [4] τουτέων Mack. – Ante τι addunt δὲ EHK. – τι ἐν τῷ σ. om. FGJ. – ὄψιος θ, Lind. – ὄψεως vulg. – ὅτι μὲν τῆς pro ὄψιος μὲν καὶ FGJ. – ὅτι ὄψεως μὲν καὶ ἀκοῆς Codd. Regg. ap. Foes in not. – νοῦσον EHKθ, Lind., Mack. – νόσον vulg. — [5] τοῖς θ. – πλείοσι θ. — [6] τῶν.... διαίτῃ om. Gθ. – ἐμέτεσιν (sic) E. — [7] τῇ pro γῆ EGHIJθ, Ald. – τρηχείη Lind. – ταχεία θ. – καθαρὴν HIJKQ', Lind., Mack. – καθαρὰν vulg. – τοῖς οὖν θ. – τῶν θ, Mack. – τῶν om. vulg. – χρηστέον pro πονητέον θ. — [8] καὶ ἀκαρπίας pro δὲ ἡ ἀκαρπία (E, emend. al. manu) FGHIJK, Ald. – ἡ om. θ. – σώματος pro σπέρματος FGIJ, Zwing. in marg. – D'après Mack θ a σώματος; ma collation porte σπέρματος. – φθορὴν θ. — [9] φυλλορροοῦντα EK. – φυλλοροοῦντα vulg. – φυλλοροῦντα Mack. – ἢ pro ᾖ θ. – ἀπὸ JK. — [10] τεθηλημένα, ἄκαρπα δὲ vulg. – τεθηλημένα [μὲν], ἄκαρπα δὲ Lind. – τεθηλημενακαρπα δὲ

sans crainte, voir la terre unie et bien travaillée, les arbres feuillés et couverts de fruits, des arbres cultivés, les fleuves roulant régulièrement une eau pure ni plus haute ni plus basse qu'il ne convient, les sources et les puits avec des apparences analogues. Tout cela, vu ainsi, annonce que l'homme est en santé, et que son corps opère régulièrement avec toutes ses circulations, toutes ses afférences et toutes ses sécrétions. Mais voir quelque apparence contraire, c'est l'indice d'une lésion quelconque dans le corps. Si c'est la vue ou l'ouïe qui paraît lésée, cela annonce maladie à la tête; on usera, outre le régime précédent, de nombreuses promenades et le matin et après le dîner. Si ce sont les jambes, on fera la révulsion à l'aide des vomissements, et, de plus que dans le régime précédent, on usera beaucoup de la lutte. Si c'est la terre qui se montre raboteuse, cela indique que la chair n'est pas pure; en conséquence on fera de nombreuses promenades après les exercices gymnastiques. Si ce sont les arbres qui apparaissent sans fruits, cela annonce la corruption du sperme; perdent-ils leurs feuilles? la corruption est due aux influences humides et froides; sont-ils feuillés mais stériles? elle est due aux influences chaudes et sèches. Ainsi, par le régime, on séchera et échauffera dans un cas, on refroidira et humectera dans l'autre. Les fleuves qui ne coulent pas régulièrement dénotent que le sang est en voie de circulation; à hautes eaux, l'excès du sang; à basses eaux, le défaut du sang. Par le régime on augmentera là, on diminuera ici. Si les eaux n'en sont pas pures, c'est l'indice d'un trouble. On obtiendra la détersion à l'aide des courses au cerceau et

θ. – Schneider dans son Suppl. signale τεθηλημένα pour τεθηλότα comme douteux. Il a eu parfaitement raison. L'excellente variante de θ, que Mack n'a pas rapportée, lève la difficulté; il faut la lire : τεθήλη μὲν, ἄκαρπα δὲ. – ἦν pro ἢ G, Ald. – ἡ pro ἢ θ. — [11] τοῖσι διαιτήμασι scribitur post θερμαίνειν EH. – τοῖσι διαιτ. χρὴ scribitur post θερμαίνειν K. – θερμαίνειν καὶ ξηραίνειν τοῖσι διαιτήμασι χρὴ θ. — [12] ψύχειν τε καὶ θ. — [13] δὲ καὶ μὴ E. – κατὰ τρόπον μὴ γινόμενοι θ. – πλεῖον EHKθ. – ῥαίοντες (bis) θ. – ἔλασσον θ, Mack. – ἔλαττὸν vulg. – ἔλληψι (sic) θ. — [14] μιῶσαι θ. – μὴ καθαρῶ δὲ ῥαίοντες ταραχὴν σημαίνει θ. – καθαίρεται E (H, al. manu, erat prius καθαίρηται) Kθ. — [15] τῶ πν. π. διακινούμενα θ. – δὲ om. θ.

ματι πυκνῷ ἀνακινεύμενα. Κρῆναι δὲ καὶ [1]φρέατα περὶ τὴν κύστιν τι σημαίνει· ἀλλὰ χρὴ τοῖσιν [2]οὐρητικοῖσιν ἐκκαθαίρειν. Θάλασσα δὲ ταρασσομένη κοιλίης νοῦσον σημαίνει· ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν. [3]Γῆ κινευμένη θεωμένη ἢ οἰκίη' ὑγιαίνοντι μὲν ἀνδρὶ ἀσθενείην σημαίνει, νοσεῦντι δὲ ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος· τῷ μὲν [4]οὖν ὑγιαίνοντι μεταστῆσαι τὴν δίαιταν ξυμφέρει· ἐμεσάτω δὲ πρῶτον, ἵνα προσδέξηται αὖθις κατὰ μικρόν· ἀπὸ γὰρ τῆς ὑπαρχούσης [5]κινέεται ἅπαν τὰ σῶμα. Τῷ δὲ ἀσθενέοντι ξυμφέρον χρῆσθαι τῇ αὐτῇ διαίτῃ· μεθίσταται γὰρ ἤδη τὸ σῶμα ἐκ τοῦ παρεόντος. Κατακλυζομένην γῆν [6]ἀπό τινος ὕδατος ἢ θαλάσσης ὁρῆν νοῦσον σημαίνει, ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι· ἀλλὰ χρὴ τοῖσιν ἐμέτοισι καὶ [7]τῇ ἀναριστήσει καὶ τοῖσι πόνοισι καὶ τοῖσι ξηροῖσι διαιτήμασι χρῆσθαι, ἔπειτα προσάγειν ἐξ ὀλίγων καὶ ὀλίγοισιν. [8]Ἀλλ' οὐδὲ μέλαιναν ὁρῆν τὴν γῆν οὐδὲ κατακεκαυμένην δοκεῖ ἀγαθὸν, ἀλλὰ κίνδυνος ἰσχυροῦ [9]νοσήματος ἀντιτυχεῖν καὶ θανασίμου· ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει εἶναι ἐν τῇ σαρκί· [10]ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν τοῦ τε σίτου ὁκόσα ξηρά τε καὶ θερμὰ καὶ δριμέα καὶ οὐρητικά· διαιτῆσθαί τε τῆς τε πτισάνης καθέφθῳ τῷ χυλῷ, καὶ [11]πᾶσι τοῖσι μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι, [12]ποτῷ δὲ πλέονι ὕδαρεῖ λευκῷ, [13]λουτροῖσι πολλοῖσι θερμοῖσιν· ἀλλὰ μὴ ἄσιτος λουέσθω, μαλακευνείτω, [14]ῥαθυμεέτω, ψῦχος καὶ ἥλιον φυλασσέσθω· εὔχεσθαι δὲ Γῇ καὶ

[1] Φρέατα (φρίατα sic θ) θεώμενα (θεώμενα om., H restit. al. manu, θ, Mack) πνεύματα (πνεύματα om. θ, Mack) περὶ τὴν κύστιν (κῦστιν Ald., Frob., Zwing., Lind.) (addunt τι θ, Mack) σημαίνει vulg. — [2] διαχωρητικοῖσιν pro οὐρ. G. – θάλασσα.... ἐκκαθαίρειν om. E. – δὲ θ, Mack. – δὲ om. vulg. – νόσον GJ, Ald. — [3] κινευμένη (κεινουμένη θ) γῆ EHK. – θεωμένη om. (H, restit. al. manu) θ. – ἢ om. θ. – οἰκία θ. – ἀνδρὶ om. (H, restit. al. manu) θ. – νοσέοντι θ. – μετακείνησιν θ. — [4] νῦν pro οὖν θ. – συμφέρει θ. – ἐμεσάτω.... μικρὸν om. FGIJ. – ἐμεσάτω (addunt δὲ θ, Lind.) πρῶτον (addit καὶ Lind.) εἰ (εἶτα pro εἰ Mack; ἵνα pro εἰ θ) vulg. – αὖτις EHθ. – Mack dit que θ a αὖθις. — [5] κενέεται (sic) J. – κρίνεται πᾶν θ. – ἀσθενέοντι θ. – ἀσθενοῦντι vulg. – ξυμφέρει FIJ. – συμφέρει EHKθ. – χρέεσθαι Lind. – τοιαύτη pro τῇ αὐτῇ G, Ald. – αὐτοῦ pro αὐτῇ J. – ἤδη θ. – δὴ pro ἤδη vulg. — [6] ὑπὸ Q', Lind., Mack. – τοῦ, al. manu τινος H. – Il faudrait lire του. – τινος om. θ. – πουλλῆς G, Ald., Frob., Mack. – τοῖσιν om. K. — [7] τῇ EHKQ', Lind. – τῇ om. vulg. – τῇσιν ἀναριστησι (sic) θ. – τῇσιν ἀναριστήσει (sic) Mack. – ἀναριστήσει, al. manu τήσοι J. – διαιτήμασι ξηροῖσι EHKθ. – χρῆσθαι om. (H, restit. al. manu) θ. – χρέεσθαι Lind., Mack. – καὶ ὀλίγοισιν om. θ. — [8] ἀλλ' om. (H, restit. al.

des promenades, qui produisent l'agitation d'une respiration accélérée. Les sources et les puits dénotent quelque chose vers la vessie; on détergera à l'aide des diurétiques. La mer troublée annonce une maladie du ventre; on détergera à l'aide des laxatifs et des aliments légers et mous. La terre ou une maison qu'on voit trembler dénote la maladie à un homme sain, la santé et le changement du présent à un malade; donc il convient de changer le régime de l'homme sain; il vomira d'abord, afin qu'il reprenne peu à peu l'alimentation; car l'alimentation actuelle trouble tout le corps. Mais, au malade, il convient de garder le régime actuel; car déjà le corps est en voie de changer son état présent. Voir la terre inondée par les eaux ou par la mer annonce une maladie; car beaucoup d'humidité est dans le corps; vomissements, suppression du déjeuner, exercices, alimentation siccative, puis progression en partant de peu et en croissant par peu, voilà ce qui convient. Voir la terre sombre et calcinée ne paraît pas, non plus, être bon; il y a danger de tomber dans une maladie violente et mortelle; car c'est l'indice d'un excès de sécheresse dans la chair; on retranchera les exercices, et, dans les aliments, ceux qui sont secs, chauds, âcres et diurétiques; on vivra d'eau d'orge bien cuite et de tout ce qui est mou et léger, en petite quantité; la boisson sera abondante, aqueuse, blanche; beaucoup de bains chauds; mais on ne se baignera pas à jeun. Dormir mollement; se reposer; se garder du froid

manu) θ. -μέλαναν, al. manu λαι H. -ὁρῆν EHθ, Mack. -ὁρᾷν (ὁρ. om. G, Ald.) vulg. -τὴν EHKθ. -τὴν om. vulg. -μέλαιναν γῆν ὁρῆν Q', Lind. -δοκεῖ om. (H, restit. al. manu) θ. — [9] νουσ. Lind., Mack. -εἶναι om. (H, restit. al. manu) θ. — [10] Ante ἀλλὰ addit καὶ δριμέα καὶ οὐρητικὰ J. -ὅσα τε ξηρὰ sine καὶ θερμὰ θ. -D'après Mack θ a σιτίου ὁκόσα τε. Ma collation dit σίτου. -ὁκόσα τε ξηρὰ EHK. -διαιτεῖσθαι J. -διαιτῆσαι G, Ald. -πτισσάνης E. — [11] σίτοισι pro πᾶσι τοῖσι θ. -τοῖς vulg. -τοῖσι EIK, Lind., Ald. -μαλακοῖσι καὶ om. θ. — [12] ποτῷ (addunt δὲ θ, Lind.) χρέοντι (χρέεσθαι L, Lind., Mack; χρέοντα conjicit Æmil. Portus ap. Mack; πλέονι pro χρέοντι H; πλείονι EKθ) ὑδαρεῖ λευκῷ πλείονι (πλέονι I; πλείονι om. EHKθ) vulg. — [13] [καὶ] λ. Lind. -πουλλοῖσι G, Frob., Zwing. -ἀλλὰ om. EHKθ. -λούσθω EK. -μαλακευνεέτω Lind., Mack. — [14] [καὶ] ῥ. Lind. -ῥαθυμείτω EHIJKθ.

Ἑρμῇ καὶ [1]τοῖσιν ἥρωσιν. Εἰ δὲ κολυμβῆν ἐν λίμνῃ ἢ ἐν θαλάσσῃ ἢ ἐν ποταμοῖσι δοκέει, οὐκ ἀγαθόν· ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει· [2]ξυμφέρει δὲ τούτῳ ξηραίνειν τῇ διαίτῃ, τοῖσί τε πόνοισι πλείοσι χρῆσθαι· πυρέσσοντι δὲ ἀγαθόν· σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τῶν ὑγρῶν.

91. Ὅ τι δ' ἄν τις περὶ αὐτοῦ [3]ὁρέῃ κατὰ τρόπον γινόμενον πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ μήτε μέζω μήτε ἐλάσσω, ἀγαθὸν πρὸς ὑγείην ἐστί· καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι καὶ ὑπόδεσιν τὴν καλλίστην, ἀγαθόν. Ὅ τι δ' [4]ἂν ἔῃ μεῖζον τῶν μελέων ἢ ἔλασσον, οὐκ ἀγαθόν· ἀλλὰ χρὴ [5]τὸ μὲν αὔξειν τῇ διαίτῃ, [6]τὸ δὲ μειοῦν. Τὰ δὲ μέλανα νοσερώτερά τε καὶ ἐπικινδυνώτερα· ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν· καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει.

92. Τοὺς [7]δὲ ἀποθανόντας ὁρῆν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν ἀγαθὸν, καὶ λαμβάνειν τι παρ' αὐτῶν καθαρὸν [8]ἀγαθόν· ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων καὶ τῶν ἐσιόντων· ἀπὸ γὰρ τῶν ἀποθανόντων αἱ τροφαὶ καὶ αὐξήσιες καὶ σπέρματα γίνονται· ταῦτα [9]δὲ καθαρὰ ἐσέρπειν ἐς τὸ σῶμα ὑγείην σημαίνει. [10]Εἰ δὲ τουναντίον τις ὁρῴη γυμνοὺς ἢ μελανοείμονας ἢ μὴ καθαροὺς ἢ λαμβάνοντάς τι ἢ φέροντας [11]ἐκ τῆς οἰκίης, οὐκ ἐπιτήδειον· σημαίνει [12]γὰρ νοῦσον· τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά· ἀλλὰ χρὴ τοῖσι τροχοῖσι καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι, [13]καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέσαντα.

[1] Τοῖσιν om. EHK.—κολυμβᾶν θ.—δοκοίη θ.—[2] σ. (H, al. manu ξ) θ.—Post δὲ addunt καὶ EHKθ.—ξηραίνειν (σημαίνειν pro ξ. EIJK) θ, Mack.—ξηραίνειν om. vulg.—Post διαίτῃ addunt ξηρῇ L, Foes in not., Lind.—τε om. θ.—πλείοσι θ, Mack.—πλείοσι om. vulg.—χρῆσθαι om. θ, Mack.—χρέεσθαι Lind.—πυρέσσοντι θ, Mack.—πυρέττοντι vulg.—[3] ὁρέῃ θ.—ὁρῇ K.—ὁρᾷ vulg.—μέζω EGHIJKθ.—μείζω vulg.—ἐλάττω E.—ὑγιείην θ.—D'après Mack θ a ὑγείην.—σημαίνει pro ἐστὶ EHθ.—Post λευκὴν addunt τὴν ὑπάρχουσαν Hθ.—ἐνδεδύσθαι om. (H, restit. al. manu) θ.—[4] ἢν pro ἂν EH.—εἴη vulg.—ἢ EHK.—ἢ θ.—μέζω FIJ.—μείζω G, Ald.—μείζων θ.—D'après Mack θ a εἴη μεῖζον.—μελέων ἢ ἔλασσον οὐκ ἀγαθόν· ἀλλὰ χρὴ EHKθ.—μελῶν (μελέων Mack; μελάων sic IJ) οὐκ ἀγαθόν· ἀλλ' οὐδ' ὅπερ ἂν εἴη ἔλασσον (ἐλάσσω FGIJ)· καὶ χρὴ vulg.—[5] τὰ μὲν αὔξειν τῇ διαίτῃ τὰ δὲ μηοῦν θ.—[6] τὰ H.—ἐπικινδυνώτερα θ, Mack.—ἐπικίνδυνα vulg.—[7] δὲ θ.—δὲ om. vulg.—ὁρᾶν GIJ.—ὁρη (sic) θ.—παρὰ τούτων pro παρ' αὐτῶν FIJ.—[8] ἀγαθὸν om. HKθ.—ὑγιείην θ.—γὰρ om. HKθ.—θανόντων θ.—γίνεται HKθ.—[9] γὰρ pro δὲ EGIJ.—Mack dit que θ a γὰρ pour δέ. Ma collation n'en dit rien.—ἐσέρπειν HKθ.—εἰσέρπειν vulg.—[10] εἰ EHKθ.—ἢν vulg.—D'après Mack θ a

et du soleil ; prier la Terre, Hermès et les Héros. Si l'on croit plonger dans un étang ou dans la mer ou dans une rivière, cela n'est pas bon, dénotant un excès d'humidité. Dans ce cas il convient de dessécher par le régime et d'user de beaucoup d'exercices. Mais ces apparences sont bonnes pour un fébricitant ; car le chaud s'éteint par les choses humides.

91. (*Songes où l'on se voit soi-même.*) Quand vous voyez quelque chose s'ajuster sur vous régulièrement à votre stature qui ne paraît ni augmentée ni diminuée, cela est bon pour la santé ; il est bon aussi d'être revêtu d'un habit blanc et d'avoir sa plus belle chaussure. Mais si quelqu'une des parties du corps paraît trop grande ou trop petite, cela n'est pas bon. Par le régime, dans un cas on ajoutera, dans l'autre on retranchera. Les objets noirs annoncent davantage la maladie et le danger ; il faut amollir et humecter. Les choses nouvelles indiquent changement.

92. (*Songes où l'on voit les morts.*) Voir les morts purs et vêtus de blanc est favorable, ainsi que recevoir d'eux quelque chose de pur ; car cela dénote la santé du corps et la salubrité de ce qui y est introduit. En effet, c'est des morts que viennent les nourritures, les croissances et les semences ; or, que cela entre pur dans le corps, c'est un indice de santé. Voir le contraire, c'est-à-dire voir les morts nus ou vêtus de noir ou non purs, ou recevant quelque chose, ou emportant quelque chose de la maison, est défavorable ; car c'est annonce de maladie ; ce qui entre dans le corps est nuisible. Il faut déterger par les courses au cerceau et les promenades, par le vomissement et, à la suite, par une nourriture molle et légère qu'on accroîtra graduellement.

ἦν. – ὅρω ἢ γυμνοὺς (H, al. manu ὁρώη) KQ'θ. – ὁρώη ἢ γυμνοὺς E, Lind., Mack. – Mack dit que θ a ὁρώη ἢ γ. – μελανείμονας EFGIJ. – μελανίμονας θ. — [11] ἐκ om. FGIJ, Ald. – οἰκίης Eθ, Mack. – οἰκίας vulg. — [12] τε pro γὰρ (H, al. manu γὰρ) θ. – εἰσιόντα EHIJK. – εἰς K. – τροχοῖσί [τε] καὶ Lind., Mack. — [13] καὶ om., restit. al. manu H. – καὶ τῇ τροφῇ μαλακῇ καὶ κούφῃ θ. – καὶ τῇ τροφῇ μαλακῇ τε καὶ κούφῃ Mack. – Mack dit que θ est conforme à ce qu'il a imprimé. – τε om. EHIK.

93. [1]Ὁκόσα δὲ ἀλλόμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι καὶ φοβέει τὸν ἄνθρωπον, σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν καὶ ἀπόκρισιν, καὶ χολέραν καὶ νοῦσον κινδυνώδεα· ἀλλὰ χρὴ ἔμετον ποιήσασθαι καὶ [2]προσαγαγεῖν ἐς ἡμέρας πέντε σιτίοισιν ὡς κουφοτάτοισι, μὴ πολλοῖσι μηδὲ δριμέσι, μήτε τοῖσι ξηροῖσι μήτε τοῖσι θερμοῖσι, καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων· [3]χρῆσθαι δὲ καὶ θερμολουσίῃ καὶ ῥᾳθυμίῃ· ἥλιον δὲ καὶ ψῦχος φυλασσέσθω. [4]Ἢν δὲ ἐν τῷ ὕπνῳ ἐσθίειν δοκέῃ ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, ἔνδειαν σημαίνει τροφῆς [5]καὶ ψυχῆς ἐπιθυμίην· κρέα δὲ τὰ μὲν ἰσχυρότατα ἐνδείας ὑπερβολήν, τὰ δὲ ἀσθενέστερα ἧσσον· ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθόν, οὕτω καὶ ὁρεόμενον· ἀφαιρέειν οὖν τῶν σιτίων οὐ ξυμφέρει· τροφῆς γὰρ ἐνδείας ὑπερβολὴν τοῦτο σημαίνει· [6]ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ' ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. [7]Ὕδωρ δὲ καθαρὸν πινόμενον ἀγαθόν· τὰ δὲ ἄλλα πάντα βλάπτει. Ὁκόσα δὲ [8]δοκέει ὁ ἄνθρωπος θεωρέειν τῶν συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. [9]Ὁκόσα δὲ φεύγει πεφοβημένος, ἐπίστασιν τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης· [10]ξυμφέρει δὲ ψῦξαι καὶ ὑγρῆναι τὸ σῶμα. [11]Ὁκόσα δὲ ἢ μάχεται ἢ κεντέεται ἢ ξυνδέεται ὑπ' ἄλλου, ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγονέναι [12]ἐν τῷ σώματι· ξυμφέρει οὖν ἐμέειν καὶ ἰσχναίνειν [13]καὶ περιπατεῖν, [14]καὶ σιτίοισι κούφοισι χρῆσθαι,

[1] Ὅσα θ. – ἐπὶ pro ἐν θ. – πλεισμονὴν καὶ ἀπόκρισι (sic) θ. – κινδυνώδεα θ. – κινδυνώδη vulg. — [2] προσάγειν (H, al. manu προσαγαγεῖν) θ. – σίτοισιν θ. – πουλλοῖσι G, Ald., Frob., Zwing. — [3] χρέεσθαι Lind. – χρήσθω θ. – δὲ καὶ λουτροῖσι καὶ θερμολουτίῃσι καὶ ῥαθυμίῃσιν vulg. – δὲ καὶ θερμολουσίῃ καὶ ῥαθυμίῃ θ. – Mack dit que θ a ῥᾳθυμίῃσιν. – φυλασσέσθω EHJK, Mack. – φυλαττέσθω vulg. — [4] ὁκόταν θ. – δ' EHKθ. – ἐν om. FGJ. – δοκέῃ θ, Lind. – δοκῇ vulg. – τῶν συνήθων ποτῶν ἢ σιτίων θ. – D'après Mack θ a συνηθέων. — [5] καὶ ψυχῆς ἀθυμίην· κρέα δὲ τὰ μὲν ἰσχυρότατα μεγίστης ὑπερβολῆς, τὰ δὲ ἀσθενέστατα (ἀσθενέστερα, H eadem manu, erat prius ἀσθενέστατα, K P'Q'θ, Lind., Mack) ἧσσω (ἧσσον HKP'Q'θ, Lind., Mack)· ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθόν, οὕτω καὶ ὁρώμενον (οὕτως καὶ ὁραιόμενον θ)· ἀφαιρέειν οὖν τῶν σιτίων ξυμφέρει (σ. θ)· τροφῆς γὰρ ὑπερβολὴν τοῦτο (τοῦτο om., H restit. al. manu, θ) σημαίνει vulg. – Le texte de vulg. est certainement altéré. D'abord on ne sait à quoi se rapporte ce génitif, μεγίστης ὑπερβολῆς. Ensuite ce texte est contradictoire avec la série des idées. C'est à cette série des idées que je m'en suis rapporté pour corriger la phrase, très-violemment, il est vrai, mais, je crois, d'une manière probable quant au sens. J'ai changé ἀθυμίην en ἐπιθυμίην, comme le veut une phrase qui est

93. (*Songes divers. Conclusion.*) Voir dans le sommeil des corps de forme étrange et être saisi de frayeur indique une plénitude d'aliments inaccoutumés, une sécrétion, un flux bilieux et une maladie dangereuse. Dans ce cas on vomira, après quoi on suivra une progression graduelle pendant cinq jours par des aliments aussi légers que possible, qui ne seront ni abondants, ni âcres, ni desséchants, ni échauffants; quant aux exercices, on usera surtout des exercices naturels, si ce n'est des promenades après le dîner. On prendra des bains chauds; on se reposera; on se gardera du soleil et du froid. Si, pendant le sommeil, on croit prendre la nourriture ou la boisson habituelle, cela dénote le besoin d'aliment et l'appétit de l'âme; des viandes dont on rêve, les plus fortes indiquent l'excès de besoin; des viandes plus faibles indiquent un besoin moindre. Manger en rêve est bon comme manger en réalité. Il ne convient donc pas de diminuer les aliments; car ce signe témoigne qu'il y a grand besoin de nourriture. La signification est la même quand on s'imagine en dormant manger des pains où entrent du fromage et du miel. Boire de l'eau limpide est bon signe; tout le reste est nuisible. Tous les objets habituels que l'on croit voir indiquent le désir de l'âme. Tout ce que l'on fuit effrayé indique l'arrêt du sang par la sécheresse; il convient alors de refroidir et d'humecter le corps. Toutes les fois que l'on se bat, que l'on est piqué ou enchaîné par un autre, cela indique qu'il s'est fait dans le corps une sécrétion contrariant le mouvement circulaire; il convient de

un peu plus bas; μεγίστης ὑπερβολῆς en ἐνδείας ὑπερβολήν; j'ai ajouté οὐ devant ξυμφέρει, et ἐνδείας après γάρ. — [6] ἀλλὰ om. EHKθ. – ἄρτω E. – καθ' ὕ. ἐσθιόμενοι om. (H, restit. al. manu) θ. — [7] ὕδωρ πινόμενον καθαρὸν οὐ βλάπτει pro ὕδωρ.... ἀγαθὸν EHKθ. — [8] δοκέη K. – ὁ om., restit. al. manu H. – θεωρέειν θ, Mack. – θεωρεῖν EHIJK. – θεωρῆν vulg. – ἐπιθυμίαν J. — [9] ὅσα θ. – ἐπίτασιν HK. — [10] συμφέρει IJθ. – τε pro δὲ EHK. – ὑγρῆναι θ, Mack. – ὑγρᾶναι vulg. — [11] ὅσα δὲ μάχεται ἢ κεντεῖται ἢ συνδέεται θ. – κεντεῖται EHK. – συνδέεται Mack. – ξυνδεῖται vulg. — [12] ἐν θ, Mack. – ἐν om. vulg. – ἐμέειν ξυμ. sine οὖν EHK (θ, συμφέρει). – ξυμφ. Lind. – συμφ. vulg. – ἐμέειν om. FGIJ. — [13] καὶ om. θ. – περιπατέειν Mack. — [14] καὶ om. EHKθ. – σίτοισι θ. – χρέεσθαι Lind., Mack.

[1]καὶ προσάγειν ἐκ τοῦ ἐμέτου ἐς ἡμέρας πέντε. Ἀλλὰ [2]καὶ πλάνοι καὶ ἀναβάσιες χαλεπαὶ ταὐτὰ σημαίνουσιν. Ποταμῶν διαβάσιες [3]καὶ ὁπλῖται [4]καὶ πολέμιοι [5]καὶ τέρατα ἀλλόμορφα νοῦσον σημαίνει ἢ μανίην· ξυμφέρει [6]σιτίοισιν ὀλίγοισι κούφοισί τε καὶ μαλακοῖσι χρέεσθαι, καὶ ἐμέτοισι προσάγειν ἡσυχῇ ἐπὶ ἡμέρας πέντε, [7]καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πολλοῖσι χρέεσθαι πλὴν ἀπὸ τοῦ δείπνου, θερμολουσίην [8]δὲ, ῥαθυμίην, ψῦχος, ἥλιον φυλάσσεσθαι. [9]Τούτοισι χρώμενος ὡς γέγραπται, ὑγιανεῖ τὸν βίον, καὶ εὕρηταί μοι δίαιτα ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ἐόντα ξὺν τοῖσι θεοῖσιν.

[1] Καὶ om. E (H, restit. al. manu) θ. – ἐς om. FGJ. – πρὸς ἡμέρας πέντε θ. ἀλλὰ om. (H, restit. al. manu) θ. — [2] καὶ om. EK. – πλάναι Mack. – Post ἀναβάσιες addit ἐκ φαντασμάτων vulg. – ἐκ φαντασμάτων om. (H, restit. al. manu) θ. – χαλεπαὶ θ. – χαλεπὰ vulg. – ταῦτα vulg. – Je lis ταὐτὰ. – συμβαίνουσι pro σημαίνουσιν I. — [3] καὶ om. EHIJK. – ὁπλίται G, Ald., Frob., Zwing. – ὁπλειται (sic) θ. — [4] καὶ om. Gθ, Ald. — [5] καὶ om. EFGHIJKθ, Ald. – νούσους σημαίνει θ. – συμφέρει θ. – Post ξ. addit οὖν τοῖς ἐν τοιούτοισιν ἀλωμένοισι (ἀλ. EIK, Ald., Frob., Zwing., Mack) vulg. – οὖν τοῖς ἐν τ. ἀλ. om. (H, restit. al. manu cum ἀλ.) θ. — [6] σίτοισιν θ. – τε καὶ om. EHKθ. – χρῆσθαι θ. – ἐπ' θ. – ἐς EHK. — [7] καὶ σίτοισι καὶ πόνοισι τοῖσι θ. – πουλλοῖσι G, Ald., Frob., Zwing. – χρέεσθαι om. EHK. – D'après Mack πλὴν manque dans θ. Ma collation a ce mot. – τοῦ θ. – τοῦ om. vulg. – θερμολουτίην G. — [8] δὲ om. EHKθ. — [9] τουτέοισι Mack. – χρεόμενος θ. – ὑγιαίνει vulg. – ὑγιαίνοι K. – ὑγιανει (sic) θ. – ἐόντα θ. – ὄντα vulg. – σὺν θ.

vomir, d'atténuer et de se promener, d'user d'aliments légers, de vomir, et, après le vomissement, de se nourrir par progression pendant cinq jours. S'égarer ou monter péniblement a la même signification. Passage de rivières, hoplites, ennemis, monstres à forme étrange, tout cela indique maladie ou délire. Il convient d'user d'aliments légers, mous, en petite quantité, de vomir, et, après, d'accroître doucement la nourriture pendant cinq jours. Exercices naturels et beaucoup, si ce n'est après le dîner; bains chauds; repos; se garder du froid, du soleil. En suivant les indications que j'ai tracées, on demeurera en santé pendant sa vie ; et par moi a été découvert le régime autant qu'un homme peut découvrir avec l'aide des dieux.

FIN DU QUATRIEME LIVRE DU RÉGIME OU DES SONGES,
ET DU SIXIÈME VOLUME.

TABLE DU SIXIEME VOLUME.